ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ΑΝΑΖΑΡΒΕΩΣ ΠΕΡΙ ΥΛΗΣ ΙΑΤΡΙΚΗΣ ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΕΝ τοῖς πρὸ τούτου τρισὶ βιβλίοις φίλτατε ἄρειε, παραδόντες περὶ ἀρωμάτων καὶ ἐλαίων καὶ μύρων καὶ δένδρων καὶ ζώων καὶ σιτηρῶν καὶ λαχάνων καὶ ῥιζῶν καὶ χυλισμάτων καὶ βοτανῶν καὶ σπερμάτων, ἐν τούτῳ τετάρτῳ ὄντι περὶ τῶν λειπομένων βοτανῶν καὶ ῥιζῶν διαλεξόμεθα.

Περὶ Κέστρου. Κεφ. α.

Κέστρον τὸ καλούμενον ψυχότροφον, ἐπειδὴ ἐν τοῖς ψυχροτάτοις εὑρίσκεται τόποις· οἱ ῥωμαῖοι βετονίκην καλοῦσιν, ἢ ῥοσμαρίνουμ. πόα ἐστὶ καυλὸν ἔχουσα λεπτὸν πήχεως τὸ ὕψος, ἢ καὶ μείζονα, τετράγωνον· φύλλα μακρά, μαλακά, ὅμοια δρυΐ, τὴν περιφέρειαν ἐσχισμένα, εὐώδη, μείζονα δὲ τὰ πρὸς τὴν ῥίζαν· ἐπ' ἄκρῳ δὲ τῶν καυλῶν ἔνεστι τὸ σπέρμα ἐσταχυωμένον ὥσπερ θύμβρας. ταύτης τὰ φύλλα δεῖ συλλέγοντας ξηραίνειν. ὧν ἐστι καὶ ἡ πλείων χρῆσις· ῥίζαι δὲ ὕπεισι λεπταὶ ὡς ἐλλεβόρου, αἵ τινες φλεγματώδη προσκαλοῦσιν ἔμετον, μεθ' ὑδρομέλιτος πινόμεναι.

τῶν

PEDANII DIOSCORIDIS Anazarbei de medicinali materia Liber quartus.

Io. Ruellio Sueßionẽſi interprete.

TRibus antè libris, amãtiſsime Aree, tradidimus odoramenta, olea, arbores, vnguenta, animalia, frumenta, olera, radices, ſuccos, herbas, ſemináque. In hoc autem quarto diſſeremus de radicibus, & eis quæ reſtant herbis.

Betonica. Cap. I.

Ceſtron pſycotrophon vocitatur, quoniam frigidis locis inueniatur. Latini betonicam appellant. Herba eſt, caulem ferens tenuem, cubiti altitudine, aut maiorem, quadratum: folia quercus, mollia, longa, in ambitu diuiſa, odorata, prope radicem maiora: in ſummis caulibus, ſemen veluti ſatureiæ ſpicatum ineſt. Decerpta huius folia ſiccantur, plurimos ad vſus. Radicibus nititur, vt veratri, tenuibus. Quæ ex hydromelite in potu, pituitoſam vomitionem euocant.

Folia dari debent ruptis, cõuulſis, mulieribus vuluæ malo opportunis, & ad laxandos vteri ſtrangulatus, denarij pondere cum hydromelite: tres in vini ſextario drachmæ, contra ſerpentiũ morſus ebibuntur. Herba magna vtilitate illatis à ſerpẽte vulneribus illinitur: aduerſus etiã venena drachma ex vino pota cõuenit: pręſumpta ea, ſi venenũ hauriatur, nihil nocebit: vrinã ciet: aluum ſubducit: medetur comitialibus & inſanis, pota ex aqua: & iocineris lieníſq; vitiis, drachmæ pondere in aceto mulſo: cõcoctionẽ adiuuat, ſi quis eã fabæ magnitudine ſecundũ cœnam cum melle cocto deuorarit: modo cõſimili acida ructãtibus propinatur. Stomachicis eã mãducare & ſuccũ deuorare proderit, ſi poſtea dilutũ vinũ ſorbeatur. Datur ſanguinẽ excreãtibus, tribus obolis, cũ diluti vini egelidi cyatho: iſchiadicis, renum & veſicæ doloribus, ex aqua: aquæ intercutem binis drachmis ex hydromelite, ſi febricitãt: ſin aliter, ex mulſo: regio morbo laborãtes recreat, menſes pellit, drachmæ pondere cum vino pota: aluũ purgant drachmæ quatuor potæ,

τῶν δὲ φύλλων διδόναι πρὸς τὰ σπάσματα, ῥήγματα, καὶ πρὸς τὰς ἐν ὑστέρᾳ διαθέσεις, καὶ πνίγας ὑστερικὰς < α. ὁλκὴ μεθ' ὑδρομέλιτος πινόμεναι. θηριοδήκτοις δὲ ὁλκαὶ γ'. μετ' οἴνου κοτυλῶν β'. καταπλασσομένη δὲ ἡ πόα, ὠφελεῖ τοὺς θηριοδήκτους, καὶ πρὸς τὰ θανάσιμα ὁλκὴ μετ' οἴνου ποθεῖσα ἁρμόζει· ἐὰν δέ τις προπίῃ, οὐδὲν βλαβήσεται λαβὼν φάρμακον θανάσιμον· ἔστι δὲ οὐρητική, κοιλίας τε ὑποβιβαστική· θεραπεύει δὲ καὶ ἐπιλήπτοις, καὶ μαινομένοις μεθ' ὕδατος πινομένη, καὶ ἡπατικοῖς· σπληνικοῖς δὲ μετ' ὀξυμέλιτος ὁλκὴ < α. ἐπιποθεῖσα· ποιεῖ δὲ καὶ πέψιν ἐάν τις μετὰ τὸ δεῖπνον αὐτὴν κυάμου μέγεθος καταπίῃ μετὰ μέλιτος ἑφθοῦ ὁμοίως καὶ ὀξυρεγμιῶσι δίδοται· στομαχικοῖς δὲ διαμασᾶσθαι καὶ καταπίνειν τὸν χυλόν, εἶτ' ἐπιρρόφαν οἶνον κεκραμένον· δίδοται δὲ καὶ αἱμοπτοϊκοῖς ὁλκὴ τριωβόλου μετὰ κράματος κυάθου ἑνὸς γαλακτώδους· ἰσχιαδικοῖς τε μεθ' ὕδατος καὶ νεφριτικοῖς καὶ κύστιν ἀλγοῦσιν· ὑδρωπικοῖς δὲ < β'. μεθ' ὑδρομέλιτος πυρέσσουσιν· ἀπυρέτοις δὲ σὺν οἰνομέλιτι· ἰκτεριῶντας τε καθίστησι, καὶ καταμήνια ἄγει ὁλκὴ < α. μετ' οἴνου πινομένη· κοιλίαν δὲ < δ'. ποθεῖσαι καθαίρουσι μεθ' ὑδρομέλιτος κυάθων δέκα. ποιεῖ καὶ πρὸς φθισικούς, ἐμπυϊκοὺς μετὰ μέλιτος. ἀποτίθεσθαι δὲ δεῖ τὰ φύλλα ξηρὰ, λεῖα ἐν κεραμέῳ ἀγγείῳ.

Περὶ Βρετανικῆς. Κεφ, β'.

Βρετανικὴ ἢ βεττονικὴ, πόα ἐστὶν ἔχουσα φύλλα ἐμφερῆ λαπάθῳ ἀγρίῳ, μελάντερα δὲ καὶ δασύτερα, στύφοντα ἐν τῇ γεύσει· καυλὸν δὲ ἀνίησιν οὐ μέγαν· ῥίζαν λεπτὴν καὶ βραχεῖαν. χυλίζεται δὲ αὐτῆς τὰ φύλλα, καὶ ἐν ἡλίῳ ἢ πυρὶ συστρέφεται. Δύναμιν δὲ ἔχει στυπτικὴν ἰδίως ἁρμόζουσαν πρὸς τὰς ἐν στόματι καὶ παρισθμίοις νομάς. ποιεῖ δὲ καὶ πρὸς τὰ λοιπὰ ὅσα στύψεως χρήζει.*

Περὶ Λυσιμαχίου. Κεφ. γ'.

Λυσιμάχιον, οἱ δὲ λύτρον καλοῦσι, καυλοὺς ἀνίησι πηχυαίους ἢ καὶ μείζονας, λεπτοὺς, θαμνώδεις, ὧν παρὰ τὰ γόνατα, φύλλων λεπτῶν ἐκφύσεις παραπλησίων τοῖς τῆς ἰτέας, στυφόντων ἐν τῇ γεύσει· ἄνθος πυῤῥὸν ἢ χρυσοειδές. φύεται ἐν ἑλώδεσι τόποις. καὶ παρὰ τὰ ὕδατα. Αρμόζει δὲ ὁ χυλὸς τῶν φύλλων στυπτικὸς ὢν, πρὸς αἵματος ἀναγωγὰς καὶ δυσεντερίας πόμα καὶ ἔγκλυσμα· ῥοῦν τε γυναικεῖον ἵστησιν ἐν προσθέτῳ καὶ πρὸς τὰς ἐκ μυκτήρων αἱμοῤῥαγίας ἐμφρασσομένη ἡ πόα ἁρμόζει.

ἔστι

in hydromelitis decem cyathis. facit cum melle ad tabem & purulentam execreationem. Folia ſicca tritáque fictili vaſe reconduntur.

Britanica. Cap. Cap.II.

Britanica aut vetonica, folia habet ſylueſtris lapathi, ſed nigriora, & piloſiora, guſtu adſtringentia: radicem tenuem & breuem: caulem paruum emittit. Foliis exprimitur ſuccus, qui igni aut ſole cogitur. Vim habet adſtringentem, priuatim depaſcentibus oris & tonſillarum vlceribus accommodatam. Valet etiam ad reliqua, quibus adſtrictione eſt opus.

Lyſimachia. Cap. III.

Lyſimachia, quam aliqui lytron appellant, caules emittit cubitales altiorésve, fruticoſos, tenues, prodeuntibus geniculatim foliis, tenuibus, ſalicis figura, guſtu adſtringétib⁹: flore rufo, aut aureo: gignitur in aquoſis & paluſtribus. Foliorum ſuccus adſtringéte ſua vi ſanguinis reiectionem ſupprimit, dyſentericis potui datur, aut infunditur: menſium abundantiam ſiſtit, in peſſo: ſanguinis profluuio ſubuenit, ſi nares ea herba obturentur:

vulnerum cruorem cohibet: acerrimum nidorem ſuffita reddit: qua de cauſa ſerpentes fugat, & muſcas interficit.

Sanguinaria, ſeu polygonum. Cap. IIII.

POLYGONVM mas ramos habet teneros & exiles, copioſos, geniculis cinctos, qui per terram, vt gramen, repunt: folia rutæ, ſed molliora longioráque: ſemine ſub omnibus foliis turgeſcente: vnde marem appellari volunt: flos ei candidus, aut puniceus. Vis epoti ſucci eſt, ſpiſſare ac refrigerare: prodeſt cruentæ excreationi, choleræ, alui fluxionibus, & vrinæ ſtillicidio: nam vrinam apertè ciet. Cum vino potus, contra ſerpentiũ morſus auxiliatur, datúrque in febribus per horam ante ſignificationes: fœminarum profluuia impoſitu ſiſtit: idem ſuccus purulentis auribus inſtillatur. Facit eximiè ad genitalium vlcera, cum vino, adiecto melle, decoctus. Stomachi feruori, ſanguinis reiectionibus, vlceribus quæ ſerpunt, ignibus ſacris, collectionib⁹, tumoribus, & recẽtibus vulneribus folia illinuntur.

ἔστι δὲ καὶ τραυματικὴ καὶ ἴσχαιμος· θυμιαθεῖσα δὲ δριμύτατον ἔχει τὸν καπνόν· ὥστε καὶ ἑρπετὰ διώκειν καὶ μυίας ἀποκτείνειν.

Περὶ πολυγόνου ἄῤῥενος. Κεφ. δ΄.

Πολύγονον ἄῤῥεν πόα ἐστὶ κλῶνας ἔχουσα λεπτοὺς τρυφεροὺς πολλοὺς γόνασι περιειλημμένους, ἕρποντας ἐπὶ τῆς γῆς ὥσπερ ἄγρωστις· φύλλα δὲ πηγάνου ὅμοια, ἐπιμηκέστερα· ἔχει δὲ καρπὸν παρ᾽ ἕκαστον φύλλον· ὅθεν καὶ ἄῤῥεν καλεῖται· ἄνθος δὲ λευκὸν ἢ φοινικοῦν. Δύναμιν δὲ ἔχει στυπτικὴν, ψυκτικὴν ὁ χυλὸς πινόμενος· ἁρμόζει δὲ αἱμοπτοϊκοῖς, καὶ τοῖς κατὰ κοιλίαν ῥεύμασι, χολερικοῖς τε καὶ στραγγουριῶσιν, ἄγει γὰρ οὖρα ἐναργῶς. βοηθεῖ καὶ θηριοδήκτοις μετ᾽ οἴνου πινόμενος καὶ πρὸς περιόδους πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας λαμβανόμενος. ἵστησι καὶ δὲ ῥοῦν γυναικεῖον προστεθεὶς, καὶ πρὸς ὠταλγίας καὶ πυοῤῥοίας ἐνσταζόμενος ἁρμόζει. συνεψηθεὶς δὲ οἴνῳ καὶ μέλι προσλαβὼν, ἄκρως ποιεῖ πρὸς τὰ ἐν αἰδοίοις ἕλκη. καταπλάσσεται δὲ τὰ φύλλα πρὸς στομάχου ἔγκαυσιν, καὶ αἵματος ἀναγωγὴν καὶ ἕρπητας, ἐρυσιπέλατά τε καὶ φλεγμονὰς, καὶ οἰδήματα καὶ τραύματα πρόσφατα.

Περὶ Πολυγόνου θήλεως.

Κεφ. ε΄.

Πολύγονον θῆλυ θαμνίον ἐστὶ μονόκλωνον, τρυφερὸν, καλαμοειδὲς, γόνατα συνεχῆ ἔχον ἐγκείμενα ἀλλήλοις ὥσπερ σάλπιγγος· καὶ περὶ τοῖς γόνασιν ἐν κύκλῳ ἐξοχὰς πίτυος, φυλλαρίοις ἐοικυίας. ῥίζα ἀχρεία· φύεται παρὰ τοῖς ὑδατώδεσι. Δύναμιν δὲ ἔχει στυπτικὴν, ψυκτικὴν, ποιοῦσα τὰ αὐτὰ τῷ πρὸ αὐτοῦ ὅτι μὴ ἀσθενέστερον.

Περὶ πολυγονάτου. Κεφ. ς΄.

Πολυγόνατον φύεται ἐν ὄρεσι, θάμνος μείζων πήχεως· φύλλα ἔχων ὅμοια δάφνῃ, πλατύτερα δὲ καὶ λειότερα, γευσαμένῳ ὅμοιόν τι μήλῳ κυδωνίῳ ἢ ῥοιᾷ, μετὰ στύψεως γὰρ προσβάλλει, καθ᾽ ἑκάστην δὲ ἔκφυσιν τῶν φύλλων ἄνθη λευκὰ, τῷ πλήθει ὑπερέχοντα τῶν φύλλων τοῦ ἀριθμοῦ ἀπὸ τῆς ῥίζης γινομένου· ῥίζαν δὲ λευκὴν, μαλακὴν, μακρὰν, πολυγόνατον, δασεῖαν, βαρύοσμον, πάχος ἔχουσαν δακτύλου, ποιοῦσαν πρὸς τραύματα καταπλασσομένην· αἴρει δὲ καὶ σπίλους τοὺς ἐν προσώπῳ.

Περὶ Κληματίδος. Κεφ. ζ΄.

Κληματὶς, οἱ δὲ δαφνοειδὲς, οἱ δὲ σμυρνοειδὲς, οἱ δὲ πολυγονοειδὲς καλοῦσι. φύεται ἐν εὐγείοις, κλήματα δὲ ἔχει μικρὰ ὅσον σχίνου τὸ πάχος, πέταλον δὲ μικρὸν, δάφνῃ ἐμφερὲς τῷ τε σχήματι καὶ τῇ χρόᾳ, μικρότερον

Sanguinaria fœmina.

Cap. V.

Sanguinaria fœmina fruticat vno caule, arundini tenero, ſimili, denſis geniculis, & in ſe tubarum modo farctis: articulos in orbem cingunt apices, foliolis piceæ ſimiles. Radicis nullus vſus: naſcitur in riguis. Huic quoq; ſpiſſandi refrigerádique natura, ad eadem valens, ſed inefficacior.

Polygonatum. Cap. VI.

Polygonatum naſcitur in mõtibus, frutice cubito altiore: foliis lauri, latioribus, & læuioribus, ſapore mali cotonei, aut punici, cum quadam adſtrictione: flores ꝑ ſingulos foliorum exortus promit, candidos, foliis numeroſiores, incepta à radice ſupputatione: radicem habet albam, mollem, lõgam, crebro geniculatam, denſam, graueolentem, digitum craſsitudine æquãtem: quæ vulneribus efficaciter illinitur. Quinetiam maculas in facie delet.

Clematis. Cap. VII.

CLEMATIS HVMI ſerpit, læto, pinguíque ſolo prouenit, viticulas ſpargens craſsitudine iunci exiguas: folio lauri figura & colore, multò minora. Ea cum caulibus in vino pota, alui profluuia & dyſenterias ſedant: ſubdita in peſſo cum lacte & roſaceo, aut cyprino, cruciatib⁹ vuluæ medentur. Dolores dẽtium commanducata finit: impoſita ſerpentium morſibus, iuuamentum præſtat. Fertur etiam contra aſpidum ictus ex aceto pota opitulari. Gignitur in terrenis.

Polemonia. Cap. VIII.

Polemoniam alij philæteriã, Cappadoces chiliodynamin appellant, ramis exilibus, vtrinque pinnatis: foliis paulo q̃ rutæ maioribus, ac longioribus, calaminthæ aut ſãguinariæ ꝓximis, quibus in ſummis velut corymbi dependent, nigro ſemine: radice cubitali, albicãte, radiculæ ſimili: naſcitur in mõtoſis & aſperis. Bibitur in vino radix contra ſerpentes & dyſenteriam, & ex aqua aduerſus vrinæ difficultatem, & coxendicum cruciatus. Datur ex aceto drachmæ põdere lienoſis. Eadem ſcorpionis plagæ alligatur. Tradunt, eum qui radicẽ guſtauerit à ſcorpione non feriri: eũq;, ſi ictus ſit, nihil moleſti paſſurum. Dentium dolorem manſa mitigat.

Symphytũ

μικρότερον δὲ πολλῷ. Ταύτης τὰ φύλλα καὶ οἱ καυλοὶ σὺν οἴνῳ πινόμενα, διαῤῥοίας καὶ δυσεντερίας παύει· μετὰ γάλακτος δὲ καὶ ῥοδίνου ἢ κυπρίνου ἐν πεσσῷ προστιθέμενα, ὑστέρας πόνους θεραπεύει· παύει δὲ καὶ ὀδόντων πόνους διαμασσωμένη. βοηθεῖ καὶ θηριοδήκτοις ἐπιτιθεμένη. ἱστορεῖται δὲ καὶ ἀσπιδοδήκτοις μετ' ὄξοις πινομένη βοηθεῖν. φύεται δὲ ἐν χέρσοις.

Περὶ Πολεμωνίου. Κεφ. η΄.

Πολεμώνιον, οἱ δὲ φιλεταίριον, καππάδοκες μὲν χιλιοδύναμιν καλοῦσι, κλωνία ἔχει λεπτὰ τεταρσωμένα· φύλλα δὲ ὀλίγῳ μείζονα πηγάνου, ἐπιμηκέστερα δὲ πρὸς τὰ τοῦ πολυγόνου ἢ τῆς καλαμίνθης, ἐπ' ἄκρου δὲ αὐτῶν ὥσπερ κόρυμβοι, ἐν οἷς σπέρμα μέλαν· ῥίζα πηχυαία, ὑπόλευκος, ἐμφερὴς στρουθίῳ· φύεται ἐν ὀρεινοῖς καὶ τραχέσι τόποις. Ταύτης ἡ ῥίζα πίνεται ἐν οἴνῳ πρὸς θηρία καὶ δυσεντερίαν, δυσουρίαν τε καὶ ἰσχιάδα μεθ' ὕδατος. σπληνικοῖς δὲ μετ' ὄξοις ὅσον < α΄. ὁλκήν. καὶ περιάπτεται ἡ τούτου ῥίζα πρὸς σκορπίου πληγήν. φασὶ δὲ μὴ τύπτεσθαι τοὺς ἔχοντας αὐτὴν ἢ κἂν πληγῶσι μηδὲν πάσχειν· παύει δὲ καὶ ὀδονταλγίας διαμασσωμένη.

Περὶ

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0440-8

Περὶ Συμφύτου πετραίου.

Κεφ. θ'.

Σύμφυτον πετραῖον φύεται ἐν πέτραις, κλωνία δὲ ἔχει ὅμοια ὀριγάνῳ, λεπτά· κεφάλια δὲ ὡς θύμου· τὸ δὲ ὅλον ἐστὶ ξυλῶδες καὶ εὐῶδες, γλυκύ τε πρὸς τῇ γεύσει, καὶ πτυέλου προσκλητικόν· ῥίζαν δὲ ἔχει μακρὰν, ὑποπόρφυρον, ὅσον δακτύλου πάχος. Τοῦτο ἑψηθὲν σὺν μελικράτῳ καὶ ποθὲν ἀνακαθαίρει τὰ ἐκ πνεύμονος· καὶ τοῖς αἷμα ἀνάγουσι, καὶ νεφριτικοῖς σὺν ὕδατι δίδοται· σὺν οἴνῳ δὲ ἑψηθὲν πίνεται πρὸς δυσεντερίαν, καὶ ῥοῦν γυναικεῖον ἐρυθρόν· σὺν ὀξυμέλιτι δὲ πρὸς σπάσματα καὶ ῥήγματα. καὶ ἄδιψον δὲ ἐστὶ διαμασώμενον, ἁρμόζει καὶ ταῖς βρόγχου τραχύτησι· κολλᾷ καὶ νεότρωτα καὶ ἐντεροκήλας, ἀποκρατεῖ καταπλασσόμενον. καὶ τὰ κρέα δὲ συμπέπτει ἑψόμενα σὺν αὐτοῖς.

Περὶ *Συμφύτου ἄλλου.

Κεφ. ι.

Σύμφυτον ἄλλο, οἱ δὲ πηκτόν· καυλὸν ἀνίησι διπηχυαῖον ἢ καὶ μείζονα, κοῦφον, παχὺν, γωνιοειδῆ, κενὸν ὥσπερεὶ σόγχου, περὶ ὃν οὐκ ἐκ μεγάλων διαστημάτων, φύλλα δασέα, στενὰ, ὑπομήκη πρὸς τὰ τοῦ βουγλώσσου· ἐξοχὰς δὲ ἔχει ὁ καυλὸς παρὰ τὰς γωνίας τινὰς τεταμένας.

φύλλων

Symphytum.

Cap. IX.

Symphyton petræon, id eſt alus, naſcitur ĩ petris, ramis tenuibus, paruis, origano ſimilibus: capitulis thymi: ſurculoſũ totum, odoratum, guſtu dulce, ſaliuam ciens: longa radice, ſubrufa, digitali craſsitudine. Decoctũ in aqua mulſa & potũ pulmonis vitia purgat: ſanguinem reiiciétibus, & renum malis, ex aqua datur: ad dyſenteriam, rubráque fœminarum profluuia, in vino decoctum: ad conuulſa verò & rupta ex aceto mulſo bibitur. Quin & commanducatum ſitim ſedat, faucibus aſperis ſubuenit, vulnera recentia enterocelásque conglutinat, & illitu cohibet. Carnes autem cũ ſymphyto decoctæ coaleſcunt.

Symphytum alterum.

Cap. X.

Eſt & alterum ſymphyton, quod aliqui pecton vocant: id caulem emittit bicubitalē, aut maioré, craſſum, leué, anguloſum, vt ſonchi inané: circa qué breui interuacante ſpatio, folia exeũt anguſta, bugloſſo ꝓxima, oblõga, hirſuta: caule ſecũdũ angulos quoſdã ſtriato:

foliis tenuibus ex alarum ſinu prodeuntibus, in quibus flores lutei, & circa caulem velut verbaſci ſemina emicant. Tã caulis quàm folia, aſpera lanugine horrent, tactúque pruritũ cõcitant: radices demittuntur foris nigræ, intus candidæ, viſcoſæ: quarum eſt vſus. Tritæ & potæ cruentis excreationibus, ruptíſque proficiunt: recentia vulnera illitæ conglutinant: carnes quoque, ſi concoquátur, cogunt additæ: inflammationibus, præſertim ſedis, cum ſenecionis foliis, vtiliter illinũtur.

Holoſtium. Cap. XI.

Holoſtion herba eſt puſilla, tribus quatuórve digitis ſupereminens extra terrã, foliis viticuliſq; coronopo aut gramini proximis, guſtu adſtrigentib⁹: radice alba, prætenui vſq; in capillamenti ſpeciẽ, longitudine quatuor digitorũ: naſcit̃ in collib⁹ terrenis. Vſus eius ad rupta, ĩ vino potę: nã & carnes cogũtur, decoctionib⁹ addita.

Stœbe. Cap. XII.

Stœbe vulgaris eſt notitiæ: cuius ſemẽ & folia ſtringũt: quapropter decoctũ dyſentericis infundit̃: auribus quoq; purulẽtis inſtillatur. Illita folia oculis

ab ictu

φύλλων λεπτῶν περιεστώτων, ἀφ' ἑκάστης μασχάλης, τὰ ἄνθη ἔπεστι μήλινα καὶ καρπὸς περὶ τὸν καυλὸν ὡς φλόμου. ὅλος δὲ ὁ καυλὸς καὶ τὰ φύλλα ἔχει χνοῦν ὑπότραχυν, κατὰ τὴν προσαφὴν κνησμὸν ἐμποιοῦντα· ῥίζαι δὲ ὕπεισιν τὴν μὲν ἐπιφάνειαν μέλαιναι, ἔνδοθεν δὲ λευκαὶ καὶ γλίσχραι· ὧν καὶ ἡ χρῆσις. Ποιοῦσι δὲ λεῖαι πινόμεναι αἱμοπτοϊκοῖς καὶ ῥηγματίαις καὶ τὰ νεόβρωτα κολλῶσι καταπλασσόμεναι· καὶ τὰ κρέα δὲ συνεψόμεναι συνάγουσι· καταπλάττονται δὲ πρὸς φλεγμονὰς μάλιστα τὰς ἐν δακτυλίῳ ὠφελίμως μετὰ φύλλων ἠριγέροντος.

Περὶ Ολεστίου. Κεφ. ιά.

Ολέστιον* πόα ἐστὶ μικρὰ ὑπὲρ γῆς ὡς τριῶν δακτύλων ἢ τεσσάρων. φύλλα δὲ ἔχει καὶ κλήματα κορωνόποδι παραπλήσια, ἢ ἀγρώστει, στυπτικά. ῥίζαν δὲ σφόδρα λεπτὴν ὡς τρίχα, λευκὴν τῷ εἴδει, μῆκος δακτύλων τεσσάρων· φύεται ἐν γεωλόφοις. Δύναται δὲ καὶ αὐτὴ κρέα συνάγειν συνεψομένη, καὶ πρὸς ῥήγματα σὺν οἴνῳ ποτίζεται.

Περὶ Στοιβῆς. Κεφ. ιβ'.

Στοιβή· ἧς ὁ καρπὸς καὶ τὰ φύλλα στύφει· ὅθεν καὶ δυσεντεριῶσι τὸ ἀφέψημα αὐτῶν ἐνίεται· ἐγκλύζεται δὲ καὶ εἰς ὦτα πυοῤῥοοῦντα· καταπλασθέντα δὲ τὰ φύλλα ὠφελεῖ σύγχισιν ὀφθαλμῶν τὴν ἐκ πληγῆς, καὶ αἱμοῤῥαγίαν ἴσχει.

Περὶ Κλυμένου. Κεφ. ιγ΄.

Κλύμενον καυλὸν ἀνίησι τετράγωνον, ὅμοιον τῷ τοῦ κυάμου· φύλλα δὲ πρὸς τὰ τοῦ ἀρνογλώσσου· θυλάκια δὲ ἔχει ἐπὶ τοῦ καυλοῦ εἰς ἄλληλα νεύοντα, ἐοικότα ἴρισι καὶ πολύποδος πλεκτάναις. ἄριστον δὲ τὸ ὀρεινόν. Χυλίζεται δὲ ὅλον σὺν τῇ ῥίζῃ. ποιεῖ δὲ ὁ χυλὸς πρὸς αἵματος ἀναγωγὴν πινόμενος· καὶ κοιλιακούς, καὶ ῥοῦν ἐρυθρὸν στύφων καὶ ψύχων· ἐπέχει δὲ καὶ τὰς ἐκ μυκτήρων αἱμοῤῥαγίας. τὰ δὲ φύλλα λεῖα ἢ τὰ θυλάκια τοῖς νεοτρώτοις ἐπιτιθέμενα, μέχρι τῆς ἐπουλώσεως ἐνεργεῖ.

Περὶ περικλυμένου.

Κεφ. ιδ΄.

Περικλύμενον θαμνίσκος ἐστὶν ἁπλοῦς, ἔχων ἐκ διαστημάτων φυλλάρια περιειληφότα αὐτόν, ὑπόλευκα, κισσοειδῆ, καὶ παρὰ τὰ φύλλα ἐκβλαστήσεις· ἐφ᾽ ὧν ὁ καρπὸς κισσῷ παραπλήσιος· ἄνθος* λευκόν, κυάμῳ ἐμφερές, ὑποστρογγύλον, οἱονεὶ ἐπικείμενον τῷ φύλλῳ· καρπὸν σκληρὸν καὶ δυσαπόσπαστον· ῥίζαν* παχεῖαν περιφερῆ. φύεται ἐν* ἀρούραις καὶ φραγμοῖς. περιελίττεται δὲ τοῖς πλησιάζοισι θάμνοις. Τούτου ὁ καρπὸς πέπειρος συλλεγεὶς

ab ictu cruētis ꝓſunt, & erūpētis ſanguinis impetus cohibēt.

Clymenum. Cap. XIII.

Clymenum caulem fert fabæ, quadratum: folia plantaginis, folliculis ſupra caulem in ſeſe inflexis, vt in iride, & polyporum cirrhis. Probatiſſimum eſt è montibus. E frutice toto cum radice ſuccus exprimitur, qui ad ſãguinis reiectiones, in potu efficax eſt: cœliacos, rubráque fœminarum profluuia, refrigerando infrænat: ſanguinem naribus erumpentem ſupprimit. Trita folia, aut ſiliquæ recentibus vulneribus impoſitæ, ea ad cicatricem perducunt.

Periclymenum.

Cap. XIIII.

Periclymenon, ſimplex fruticat, ex interuallis parua folia habens, ipſum amplectentia, ſubcandida, hederacea: inter folia ſurculi exeunt, in quibus baccæ, hederæ ſimiles: flos fabę cãdidus, aliquantũ rotũdus, & quaſi in foliũ procumbens: ſemen durũ, & quod difficile euellatur: radice rotũda, craſſa. Naſcitur in aruis ac ſepibꝰ, conuoluẽs ſe adminiculis, propter aſsidentibus. Semen eius poſtquàm ematuruit collectũ, &

& in vmbra ſiccatũ, ſi drachmæ põdere detur in vino, quadragenis diebus, lienem abſumit, laſsitudinem diſcutit: ſed vrinam ciet, ſtatim à ſexto die cruentam. Orthopnœæ, & ſingultui prodeſt: partum accelerat. Folia ſunt eiſdem viribus prædita, quæ tricenis ſeptenis diebus epota, ſterilitatẽ facere prodũtur: perunctis ex oleo, febrium algores abigũt.

Tribulus. Cap. XV.

TRIBVLI genus vnum terreſtre, foliis ad effigiẽ portulacæ, tenuioribus, viticulis in terra ſtratis: ſpinis ſecundum folia rigidis, præduris: iuxta amnes & rudera naſcitur. Eſt & alterum genus, aquis familiare, quod in fluminibus natum comã exerit, aculeos condens: foliis latis, & pediculo longo: caule parte ſumma, quàm ima craſsiori, adſunt ei & capillamenta quædam ſpicacea: ſemen durũ, ab altero non abhorrens. Vterque refrigerãtis & inſpiſſantis eſt naturæ: ideo inflammationes omneis cataplaſmate adiuuat. Vlcera in ore erũpentia, putredines, gingiuas, tonſilláſque perſanat. Succꝰ ex his colligitur ad oculorũ medicinas.

Semen

συλλεγεὶς καὶ ξηρανθεὶς ἐν σκιᾷ, πίνεται μετ᾽ οἴνου < α. ὁλκὴν ἐπὶ ἡμέρας μ΄. καὶ σπλῆνα τήκει, καὶ κόπον λύει, καὶ ὀρθόπνοιαν ὠφελεῖ καὶ λυγμόν· οὖρα ἄγει ἀπὸ τῆς ἕκτης ἡμέρας αἱματώδη. ἔστι δὲ καὶ ὠκυτόκιον, τὴν αὐτὴν δὲ καὶ τὰ φύλλα δύναμιν ἔχει· ἡμέρας λζ΄. ποθέντα, καὶ ἀγόνους ἱστορεῖται ποιεῖν· ἀλειφόμενα δὲ μετ᾽ ἐλαίου ἐπὶ τῶν περιοδικῶν, τὰ φρικία παραιτεῖται.

Περὶ Τριβόλου. Κεφ. ιε΄.

Τρίβολος ὁ μὲν χερσαῖος ἀνδράχνῃ τὰ φύλλα ἔοικε, λεπτότερα δὲ καὶ τὰ κλήματα κατὰ γῆς ἐστρωμένα, καὶ πρὸς αὐτοῖς ἄκανθαι στρυφναί, σκληραί. φύεται δὲ παρὰ ποταμοῖς καὶ οἰκοπέδοις. Ἔστι δέ τις καὶ ἔνυδρος παρὰ ποταμοῖς φυόμενος, ὑπερέχων τὴν κόμην, τὴν δὲ ἄκανθαν κρύπτων· φύλλα πλατέα, μόσχον ἔχοντα μακρόν. καυλὸς δὲ ἐξ ἄκρου παχὺς, μᾶλλον τοῦ ἐν βάθει. πρόσεστι δὲ καὶ τριχώδη τινὰ ἀποπεφυκότα σταχοειδῆ. καρπὸς σκληρὸς ὡς καὶ ὁ θατέρου. Ἀμφότεροι δὲ στύφουσι, ψύχουσιν· εἰσί τε πάσης φλεγμονῆς καταπλάσματα. σὺν μέλιτι δὲ ἄφθας καὶ παρείσθμια, καὶ τὰς ἐν στόματι σηπεδόνας, καὶ οὖλα θεραπεύουσι· χυλίζονται δὲ καὶ εἰς τὰ ὀφθαλμικά.

ὁ δὲ καρπὸς αὐτῶν, χλωρὸς λιθιῶντας πινόμενος ὠφελεῖ. τοῦ δὲ χερσαίου ὅσον < α. πινομένη καὶ καταπλασσομένη, τοὺς ἐχιοδήκτοις ἀποκαθίστησιν· ἁρμόζει καὶ θανασίμοις μετ' οἴνου πινόμενος. κτείνει δὲ καὶ ψύλλας τὸ ἀπόζεμα αὐτοῦ ῥανθέν. οἱ δὲ περὶ τὸν στρυμόνα ποταμὸν Θρᾶκες, τῇ μὲν πόαν χλωρὰν ἱπποτροφοῦσι· τὸν δὲ καρπὸν γλυκὺν ὄντα καὶ τρόφιμον, σιτοποιοῦνται, χρώμενοι αὐτῷ ἀντὶ ἄρτου.

Περὶ Λειμωνίου. Κεφ. ιϛʹ.

Λειμώνιον, οἱ δέ, νευρεσειδές. τὰ μὲν φύλλα ἔχει ὅμοια σεύτλῳ, λεπτότερα δὲ καὶ μακρότερα, δέκα ἢ πλείω· καυλὸν λεπτόν, ὄρθιον, ἴσον ὥσπερ κρίνου, γέμοντα καρποῦ ἐρυθροῦ στύφοντος τὴν γεῦσιν. Δύναται δὲ ὁ καρπὸς λεῖος σὺν οἴνῳ ποθείς, ὀξυβάφου πλῆθος δυσεντερικοῖς καὶ κοιλιακοὺς ὠφελεῖν· ῥοῦν τὸν γυναικεῖον ἐρυθρὸν ἐφιστάνειν. φύεται δὲ ἐν λειμῶσι καὶ ἑλώδεσι τόποις.

Περὶ Λαγώποδος. Κεφ. ιζʹ.

Λαγώπους δύναμιν ἔχει σταλτικὴν κοιλίας πινόμενον μετ' οἴνου· ἐπὶ δὲ τῶν πυρεσσόντων μεθ' ὕδατος. περιάπτεται δὲ καὶ πρὸς φλεγμονὴν βουβώνων· φύεται δὲ ἐν πρασιαῖς.

Περὶ Μηδίου. Κεφ. ιηʹ.

Μήδιον φύεται ἐν παλισκίοις τόποις καὶ πετρώδεσιν· ἔχει φύλλα ὅμοια ἴριδι· καυλὸς τρίπηχυς,

ἄνθη

Semen dum recẽs bibitur, calculoſis iuuamentum affert. Drachma terreſtris tribuli pota, illitáve, ictos à vipera recreat: contra venena cum vino aptiſsimè bibitur. Decoctum eius ſparſum pulices necat. Thraces qui ad Strymona amnem habitãt, virenti tribulo equos ſaginãt, & è dulci ſemine & eſculento panem, quo veſcuntur, faciunt.

Limonium. Cap. XVI.

Limonion, folia habet betæ, tenuiora & longiora, decem, ſæpe plura: caulem tenuem, rectum, lilio æqualem, ſeminibus rubris ſcatentem, quæ guſtata adſtringunt. Semen tritum, & ex vino acetabuli menſura potum, dyſentericis cœliacísque prodeſt: rubra fœminarum profluuia ſiſtit. Naſcitur in pratis & paluſtribus.

Lagopus. Cap. XVII.

Lagopus herba ſiſtit aluum in vino pota: aut in febri, ex aqua. Eadem inguini alligatur, in inflammatione. Naſcitur in ſegetibus.

Medium. Cap. XVIII.

MEDION in ſaxis & opacis naſcitur: folia habet iridis: caulem tricubitalem,

&

Universitäts- und Landesbibliothek Düsseldorf urn:nbn:de:hbz:061:2-194136-p0445-7 DFG

& in eo florem grandem, purpureum, rotundũ: ſemine cnici, minuto: radicem dodrantalem, craſsitudine baculi, guſtu acerbo. Quæ trita in farinã, & ex melle decocta, rubros mẽſes fœminarũ ſiſtit, eclegmate per aliquot dies ſumpto. Semẽ in vino potum, mẽſtrua pellit.

Epimedium. Cap. XIX.

Epimedium, caulis eſt non magnꝰ, hederæ foliis, denis atque duodenis, neque florẽ, neque fructum ferens: radice tenui, nigra, graui odore, guſtu fatuo: naſcitur in humidis. Folia cum oleo trita, impoſito cataplaſmate, mammas increſcere non ſinunt. Radix conceptum adimit. Folia trita quinis drachmis, poſt mẽſtruas purgationes, quinq; diebꝰ in vino pota, præſtãt mulieribꝰ ne cõcipiãt.

Gladiolus. Cap. XX.

Xiphion, alij phaſganon, alij machæroniõ, Romani gladiolum, vocant. nomen inde accepit, quod foliũ gladij prębeat ſpeciem. Iridi ſimile erat, niſi minus & anguſtius videretur, & gladij modo mucronatum, neruoſumq;. In caulem exit cubitalem, in quo purpurei flores, in ordinẽ digeſti, inter ſe diſtant: rotundo ſemine: radicibus

ἄνθη πορφυροειδῆ μεγάλα καὶ περιφερῆ· καρπὸς μικρὸς, ἐοικὼς κνίκῳ· ῥίζα σπιθαμιαία, βακτηρίας ἔχουσα πάχος, στρυφνὴ γευομένῳ. Ἡ τις ξηρὰ λεία ἐκλειχομένη σὺν μέλιτι ἑφθὴ ἐφ' ἱκανὰς ἡμέρας, ῥοῦν τὸν ἐρυθρὸν ἵστησι. τὸ δὲ σπέρμα σὺν οἴνῳ ποθὲν, ἄγει ἔμμηνα.

Περὶ Ἐπιμηδίου Κεφ. ιθ'.

Ἐπιμήδιον καυλός ἐστιν οὐ μέγας, κισσῷ παραπλήσια φύλλα ἔχων ὅσον ι. ἢ ιβ'. οὔτε δὲ καρπὸν οὔτε ἄνθη φέρει· ῥίζαι δὲ λεπταὶ, μέλαιναι, βαρύοσμοι, γευσαμένῳ μωραί· φύεται ἐν τόποις ὑδρηλοῖς. Ταύτης τὰ φύλλα λεία μετ' ἐλαίου, κατάπλασμα μαστῶν εἰς τὸ μὴ αὔξεσθαι. ἀτόκιός τε ἡ ῥίζα καὶ τὰ φύλλα λεῖα ποθέντα ἐν οἴνῳ μετὰ τὴν κάθαρσιν < ε. πλῆθος ἐπὶ ἡμέρας ε. ἀσυλλήπτοις τηρεῖ.

Περὶ Ξιφίου.
Κεφ. κ'.

Ξιφίον, οἱ δὲ, φάσγανον, οἱ δὲ, μαχαιρώνιον καλοῦσι, διὰ τὸ τοῦ φύλλου σχῆμα, ἔοικε γὰρ ἴρειδι, ἔλαττον μέν τοι καὶ στενώτερον, καὶ ἄποξυ ὡς μαχαίριον, ἰνῶδες. καυλὸν δὲ ἀνίησι πηχυαῖον, ἐφ' οὗ ἄνθη πορφυρᾶ στιχηδὸν, ἀπ' ἀλλήλων διεστῶτα· καρπὸν δὲ στρογγύλον· ῥίζας β'.

τὴν

τῆς μὲν μίαν ἐπὶ τῆς ἑτέρας καθημένην, ὥσπερ βολβία μικρά· τούτων ἡ μὲν κάτω, ἰσχνή ἐστιν, ἡ δὲ ἄνωθεν, ἁδροτέρα· φύεται δὲ μάλιστα ἐν ἀρούραις. Δύναται δὲ ἡ ἄνωθεν ῥίζα καταπλασσομένη μετ᾽ οἴνου καὶ λιβανωτοῦ, ἀκίδας καὶ σκόλοπας ἐπισπᾶσθαι· σὺν ἀλεύρῳ δὲ αἰρίνῳ καὶ ὑδρομέλιτι διαφθείρει φύγεθλα· ὅθεν ταῖς τοιαύταις ἐμπλάστροις μίγνυται. ἄγει δὲ καὶ καταμήνια προστεθεῖσα. φασὶ δὲ καὶ ἀφροδίσια παρορμᾶν τὴν ἀνωτέρω ῥίζαν σὺν οἴνῳ ποθεῖσαν, τὴν κατωτέρω δὲ ἀγόνους ποιεῖν. ἐντεροκηλικοῖς τοῖς παιδίοις ὠφελίμως δίδοται τὴν ἐπάνω ῥίζαν ἐν ποτῷ σὺν ὕδατι.

Περὶ Σπαργανίου. Κεφ. κά.

Σπαργάνιον φύλλα ἔχει ἐοικότα ξιφιδίῳ, στενώτερα δὲ καὶ ἐπικλινέστερα· ἐπ᾽ ἄκρου δὲ τοῦ καυλοῦ ὥσπερ σφαιρία ἐν οἷς ὁ καρπός. δίδοται ἡ ῥίζα καὶ ὁ καρπὸς σὺν οἴνῳ θηριοδήκτοις.

Περὶ Συρίδος. Κεφ. κβ΄.

Συρὶς, τὰ μὲν φύλλα ἔχει ἴριδι ὅμοια, πλατύτερα δὲ καὶ ἐξ ἄκρου ὀξέα· καυλὸν δὲ ἐκ μέσου τῶν φύλλων πηχυαῖον, ἱκανῶς παχὺν, ἐφ᾽ οὗ λοβοὶ τρίγωνοι· καὶ ἐπ᾽ αὐτῶν ἄνθος πορφυροῦν· τὸ δὲ ἐν μέσῳ φοινικοῦν· καρπὸς δὲ ἐν θυλακίοις κυάμοις ὅμοιος, στρογγύλος, ἐρυθρὸς, δριμύς·

radicibus geminis, vna puſillorum bulborum modo, ſuper alteram inſidente, quarum inferior gracilis eſt, ſuperna vberior: naſcitur in aruis. Superior cum thure illita, admiſto vino, ſpicula & aculeos è corpore extrahit: panos cum lolij farina & hydromelite diſcutit: qua de re huiuſmodi emplaſtris inſeri ſolet. Menſes impoſita trahit. Superiori radice ex vino pota, venerem ſtimulari, & inferiore ſumpta ſterileſcere tradunt. Superiorem quoq; vtiliter infantiũ enterocelis, cũ aqua potui dare præcipiũt.

Sparganium. Cap. XXI.

Sparganion, aliq xiphidion vocãt, folia habet gladioli, ſed arctiora, & ĩ terrã magis ꝓcũbẽtia: in ſũmo caule veluti pilulæ ꝓminẽt, ĩ qb⁹ ſemẽ. Cõtra ſerpẽtis venena radix cũ vino datur.

Xyris. Cap. XXII.

XYRIS, folia habet iridis, latiora, & in cacumine mucronata: quorum medio caulis erumpit, ſatis craſſus, cubitalis, ex quo ſiliquæ triangulares dependent: in quibus purpureus flos, in medio puniceus: ſemen in folliculis, ſimile fabis, rotundum, rubrum, acre:

Universitäts- und Landesbibliothek Düsseldorf urn:nbn:de:hbz:061:2-194136-p0447-9 DFG

radix longa, geniculata, rufa. Contra capitis vulnera fractáque efficax eſt: aculeos & ſpicula omnia citra moleſtiã extrahit, adiecta floris æris tertia parte, & radicis centaurij ac mellis quinta: tumoribus & collectionibꝰ illita cum aceto medetur. Radix ex paſſo bibitur, ad conuulſa, rupta, coxendicum dolores, ſtrangurias & alui profluuia. Semen tribus obolis potum, vrinam vehementius impellit: & cum aceto, lienem abſumit.

ῥίζα δὲ πολυγόνατος, μακρὰ, πυῤῥὰ, ποιοῦσα πρὸς τὰ ἐν κεφαλῇ τραύματα καὶ κατάγματα· ἀνάγει δὲ σκόλοπας, καὶ πᾶν βέλος ἐπισπᾶται μετ' ἀπονίας μιγνύντος αὐτῇ χαλκοῦ ἄνθους μέρους τρίτον, καὶ κενταυρείου ῥίζης μέρος έ. καὶ μέλιτος. θεραπεύει δὲ καὶ οἰδήματα καὶ φλεγμονὰς καταπλασσομένη μετ' ὄξους· πίνεται δὲ καὶ πρὸς σπάσματα, ῥήγματα, ἰσχιάδας τε καὶ στραγγουρίας. καὶ διαῤῥοίας ἡ ῥίζα μετὰ γλυκέος τεθλασμένη. ὁ δὲ καρπὸς οὐρητικώτατος ἐστὶν τριώβολον ποθεὶς ἐν οἴνῳ· τήκει δὲ καὶ σπλῆνα σὺν ὄξει ποθείς.

Anchuſa. Cap. XXIII.

ANCHVSA, quæ alio nomine calys, aut onoclea appellatur, folia habet lactucæ in acumen, faſtigiata, hirſuta, aſpera, nigra, multa, ab radice quoquoverſum humi ſparſa, ſpinis horrida: radici craſſitudo digitalis, quæ æſtate prouenit, ac manus inficit ſanguineo colore: læto ſolo naſcitur. Radix adſtringit: ad ambuſta & vetera vlcera, ex oleo & cera efficax eſt: igni ſacro cum polenta medetur: lepris & vitiliginibus illinitur ex aceto: partus extrahit, vuluæ indita. Eius decoctum

Περὶ Ἀγχούσης. Κεφ. κγ΄.

Ἄγχουσα, ἣν ἔνιοι κάλυκα, οἱ δὲ, ὀνόκλειαν καλοῦσι· τὰ μὲν φύλλα ἔχει θρίδακι τῇ ὀξυφύλλῳ παραπλήσια, δασέα, τραχέα, μέλανα, πολλὰ. πανταχόθεν τῆς ῥίζης προσπεπλασμένα τῇ γῇ, ἀκανθώδη· ἡ δὲ ῥίζα δακτύλου τὸ πάχος, τὴν χρόαν ὕφαιμος, ἐν τῷ θέρει γινομένη καὶ βάπτουσα τὰς χεῖρας· φύεται ἐν εὐγείοις τόποις. Ἔστι δὲ ἡ ῥίζα στυπτική· ποιοῦσα πρὸς κατακαύματα καὶ παλαιὰ ἕλκη, ἐναφεψομένη κηρῷ καὶ ἐλαίῳ· ἐρυσιπέλατα δὲ σὺν ἀλφίτῳ καταπλασθεῖσα θεραπεύει· καὶ ἀλφοὺς καὶ λέπρας σὺν ὄξει καταπλασσομένη· προστεθεμένη δὲ καὶ ἔμβρυα κατασπᾷ. τὸ δὲ ἀφέψημα αὐτῆς δίδοται καὶ ἰκτερικοῖς, νεφριτικοῖς, σπληνικοῖς, πυρέσσουσι μετὰ μελικράτου· τὰ δὲ φύλλα κοιλίαν ἵστησι μετ᾽ οἴνου πινόμενα. χρῶνται δὲ καὶ οἱ μυρεψοὶ τῇ ῥίζῃ πρὸς τὰς στύψεις τῶν μύρων.

Περὶ Αγχούσης ἑτέρας.

Κεφ. κδ΄.

Αγχουσα ἑτέρα, ἣν ἔνιοι ἀλκιβιάδιον, ἢ ὀνοχειλὲς ἐκάλεσαν. αὕτη διαφέρει τῆς πρώτης, τῷ μικρότερα ἔχειν τὰ φύλλα, τραχέα δὲ ὁμοίως· καὶ τὰ κλωνία λεπτὰ ἐφ᾽ ὧν ἄνθος πορφυροειδὲς ὑποφοινίζον· ῥίζας δὲ ἐρυθρὰς, εὐμήκεις, περὶ τὸν πυραμητὸν ἐχούσας τὸ αἱματῶδες· φύεται δὲ ἐν ἀμμώδεσι τόποις. Δύναμις δὲ αὐτῆς, καὶ τῶν φύλλων θηριοδήκτοις βοηθεῖν, μάλιστα δὲ ἐχιοδήκτοις, ἐσθιόμενα, καὶ πινόμενα, καὶ περιαπτόμενα· κἂν μασησάμενός τις εἰς τὸ στόμα τοῦ θηρίου ἀποπτύσῃ, ἀποκτενεῖ αὐτό.

Περὶ Ετέρας ἀγχούσης.

Κεφ. κε΄.

Εστι δὲ καὶ ἄλλη ἐμφερὴς ταύτῃ, ἐλάττω δὲ καρπὸν ἔχουσα φοινικοῦν. ὃν ἐάν τις μασησάμενος ἀποπτύσῃ εἰς τὸ στόμα τοῦ ἑρπετοῦ, ἀποκτενεῖ. ἡ δὲ ῥίζα μετὰ ὑσσώπου καὶ καρδάμου ποθεῖσα, ὀξυβάφου πλῆθος, πλατεῖαν ἕλμινθα ἐκτινάσσει.

decoctum renum vitiis, lieni, & bile ſuffuſis datur: & ſi febris ſit, ex aqua mulſa. Siſtunt aluum folia in vino pota. Radice pigmētarij vtuntur ad vnguentorum ſpiſſamenta.

Anchuſa altera.

Cap. XXIIII.

Eſt & altera, quam aliqui alcibiadion, aut onochiles appellarūt. Hęc à priore diſtat, quòd minora habeat folia, ſed ſimili modo aſpera: ramulos exiles in quibus flos purpureus in puniceum vergens conſpicitur: radices rubræ, prælongæ, quæ meſsibus ſanguineum ſuccum fundunt: in ſabuloſis naſcitur. Vis ei foliiſq; ineſt, quę contra virus cùm reliquorum ſerpentium, tum maximè viperarum auxilietur, ſiue cibo, ſiue potu, ſiue alligatu: nam ſi quiſquam mandens, in ſerpentis os inſpuat, eum necabit.

Anchuſa tertia.

Cap. XXV.

EST & alia huic haud diſſimilis, ſemine puniceo, minore. Cuius ſemen manducatum, ſi in ſerpentis fauces inſpuatur, eam interficiet. Radix acetabuli menſura cum hyſſopo & naſturtio pota, latas ventris tineas excutit.

Lycopſis. Cap. XXVI.

Lycopſis, quæ & anchuſa à nonnullis vocatur, folijs lactucæ, longioribus, aſperioribus, latioribúsque, craſsis, ad radicis caput recidentibus: caule longo, recto, ſcabro, hirſutis adnatis, multis, cubitalibus: flore in iis paruo purpuraſcente: radice rubra, & adſtringente: naſcitur in campeſtribus. Cum oleo radix illita, vulneribus medetur: & cum farina hordeacea, ignib⁹ ſacris: ſudores peruncta mouet, adiecto oleo.

Echium. Cap. XXVII.

ECHION, folia habet prælonga, aſpera, aliquantum tenuia, anchuſæ proxima, minora tamen, ſubrubra, & pinguia, ſpinulis tenuibus horridula: cauliculos exiles, numeroſos: minutáque vtroque latere folia, expanſa, pinnatáque, nigra, in ſummo caule breuiora: flores ſecundum folia purpureos, in quibus ſemina capiti viperarũ ſimilia inſunt: radix nigricat, digito tenuior. Quæ non percuſsis modò a ſerpentibus ex vino prodeſt, ſed eos qui anteà biberint, feriri non patitur. Folia & ſemen idem præſtant munus.

Lumborum

Περὶ Λυκόψεως. Κεφ. κϛʹ.

Λύκοψις, οἱ δὲ, καὶ ταύτην ἄγχουσαν ἐκάλεσαν, τὰ μὲν φύλλα ἔχει ὅμοια θρίδακι, μακρότερα δὲ καὶ τραχύτερα καὶ παχέα καὶ πλατύτερα, πεπτωκότα περὶ τὴν τῆς ῥίζης κεφαλήν· καυλὸν ἀνίησι μακρὸν, ὀρθὸν, τραχὺν, παραφυάδας ἔχοντα πολλὰς, πηχυαίας, τραχείας· καὶ ἐπ' αὐταῖς ἄνθη μικρὰ, πορφυρίζοντα· ῥίζα δὲ ἐρυθρὰ, στυπτική· φύεται ἐν πεδίοις. καταπλασσομένη δὲ μετ' ἐλαίου ἡ ῥίζα, τραύματα ἰᾶται· μετ' ἀλφίτου δὲ ἐρυσιπέλατα· λεία δὲ συναλειφομένη μετ' ἐλαίου ἱδρῶτας κινεῖ.

Περὶ Ἐχίου. Κεφ. κζʹ.

Ἔχιον, οἱ δὲ, ἀείδαν, οἱ δὲ, ἀλκιβιάδιον, τὰ μὲν φύλλα ἔχει περιμήκη, τραχέα, ὑπόλεπτα, πρὸς τὰ τῆς ἀγχούσης, ἥττονα δὲ καὶ λιπαρὰ, ἀκάνθια λεπτὰ ἐπικείμενα, καὶ ἃ καὶ δασύνει τὰ φύλλα· καυλία λεπτὰ, πολλά· ἑκατέρωθεν δὲ φυλλάρια λεπτὰ ταρσούμενα, μέλανα, ἐλάττονα δὲ πρὸς λόγον τῶν ἐπ' ἄκρου τοῦ καυλοῦ. τὰ δὲ ἄνθη παρὰ τὰ φύλλα πορφυροειδῆ ἐν οἷς ἐστι καὶ ὁ καρπὸς κεφαλῇ ἔχεος ὅμοιος· ῥίζα δὲ λεπτοτέρα δακτύλου, ὑπομέλαινα. ἥτις οὐ μόνον τοῖς δηχθεῖσιν ὑπὸ ἑρπετῶν βοηθεῖ ποθεῖσα μετ' οἴνου, ἀλλὰ καὶ τοὺς προπιόντας ἀδήκτους ποιεῖ. ὁμοίως δὲ καὶ τὰ φύλλα καὶ ὁ καρπός.

πος. παύει δὲ καὶ ὀσφύος ἄλγημα, καὶ γάλα κατασπᾷ, μετ' οἴνου ἢ ῥοφήματος ληφθεῖσα.

Περὶ *Ὠκυμοειδοῦς. Κεφ. κή.

Ὠκυμοειδὲς, οἱ δὲ φιλεταίριον, φύλλα μὲν ἔχει ὠκύμῳ ὅμοια, κλῶνας δὲ σπιθαμιαίους, δασεῖς· λοβοὺς δὲ παραπλησίους ὑοσκυάμῳ, πλήρεις σπέρματος μέλανος, ἐοικότας μελανθίῳ. Δύναμιν δὲ ἔχει τὸ σπέρμα πινόμενον ἐν οἴνῳ, ἐχιοδήκτους καὶ τὰ ἄλλα τῶν ἑρπετῶν δήγματα θεραπεύειν. δίδοται δὲ καὶ ἰσχιαδικοῖς μετὰ σμύρνης καὶ πεπέρεως· ῥίζα δὲ ὕπεστι λεπτὴ καὶ ἄχρηστος.

Περὶ Ἐρίνου. Κεφ. κθ΄.

Ἔρινος φύεται παρὰ ποταμοῖς καὶ κρήναις, φύλλα ἔχει ὠκύμοις ὅμοια, μικρότερα δὲ καὶ ἐπεσχισμένα ἐκ τῶν ἄνωθεν μερῶν, κλωνία δὲ ε΄. ἢ ς΄. σπιθαμιαῖα, ἄνθη λευκά· καρπὸν δὲ μέλανα, μικρὸν, στρυφνόν· ὀποῦ δὲ μεστός ἐστιν ὁ καυλὸς καὶ τὰ πέταλα. Τούτων ὁ καρπὸς < β΄. πλῆθος μιγεὶς πρὸς μέλιτος κυάθοις τέσσαρας, ῥεύματα ὀφθαλμῶν ἐγχριόμενος ἵστησιν. ὁ δὲ χυλὸς ὤτων πόνον παύει μετὰ θείου ἀπύρου καὶ νίτρου ἐνσταζόμενος.

Περὶ Ἀγρώστεως. Κεφ. λ΄.

Ἄγρωστις κλημάτια ἔχει γονατώδη ἕρποντα ἐπὶ τῆς γῆς, καὶ ἀπὸ τῶν κλάδων προϊέμενα. ῥίζας γλυκείας γονατώδεις· φύλλα ὀξέα,

σκληρὰ,

Lumborum dolores ſedat, in vino aut ſorbitione ſumpta, & lac extrahit.

Ocimaſtrū. Cap. XXVIII.

Ocimoides, Latini ocimaſtrum vocant, folia fert ocimi, & ramos dodrātales, hirſutos: ſiliquas hyoſcyamo ſimiles, ſemine, vt gith, nigro prægnantes. Vim habet ſemen in vino potum, qua viperarum cæterarúmque ſerpentium morſibus medeatur. Datur iſchiadicis cum melle, vino, myrrha, & pipere. Radice nititur tenui, & ſuperuacua.

Erinus. Cap. XXIX.

Erinus naſcitur apud fontes & fluuios, foliis ocymi, ſed minoribus, parte ſuperna diuiſis, dodrantalibus ſurculis quinis ſenísve, flore candido: ſemine nigro paruo & acerbo: folia & caules lacteo ſucco turgét. Semen drachmis duabus, in quatuor mellis cyathis, oblitum, oculorum fluxiones cohibet. Succus cum ſulphure & nitro inſtillatus, aurium dolores ſedat.

Gramen. Cap. XXX.

GRAMEN geniculatis ſerpit ramulis, à quibus radices ſpargit dulces, articulis præcinctas: folia acuminata, dura, &, vt arundinis paruæ, lata, in exilitatem faſtigiátur, eáque iumenta & boues paſcũt. Trita radix illitu vulnera conglutinat. Decoctũ eiꝰ in potu torminibus medetur, & vrinæ difficultatibꝰ: calculoſa etiam veſicæ excreméta comminuit.

Gramen arundinaceum.
Cap. XXXI.

EST & arundinaceum gramé, priore multò maius, quod iumenta necare traditur, præſertim in Babylone id quod iuxta vias naſcitur.

Gramen Parnaſaicum.
Cap. XXXII.

QVOD in Parnaſo monte gignitur, denſius fruticat: foliis hederaceis: flore odorato, candido: ſemine paruo, non inutili: radicibus quinis aut ſenis, digitali craſsitudine, candidis, mollibus, robuſtis, ac dulcibꝰ. Succus ſi in vino cum melle pari, & myrrhæ dimidio decoquatur, adiiciátúrque piperis & thuris tertiæ portiones, probatiſsimum erit oculorum medicamẽtum: id in ærea pyxide reconditur. Decoctum radicis idem quod herba, præſtat. Semen vehementius vrinã impellit, aluũ vomitionesq; ſiſtit. Natum in Cilicia gramen,

quod

σκληρὰ, πλατέα, ὡς καλάμου μικροῦ, τρέφονται βόας καὶ κτήνη. Ταύτης ἡ ῥίζα καταπλαττομένη λεία, τραύματα κολλᾷ. τὸ δὲ ἀφέψημα αὐτῆς πινόμενον, πρὸς στρόφους ποιεῖ καὶ δυσουρείαν. καὶ τὰ περὶ τὴν κύστιν περιττώματα λιθώδη θρύπτει.

Περὶ Καλαμαγρώστεως.
Κεφ. λα´.

Καλαμάγρωστις μείζων ἐστὶ κατὰ πάντα τῆς ἀγρώστεως. ἔστι δὲ κτηνῶν ἀναιρετικὴ βρωθεῖσα, καὶ μάλιστα ἡ ἐν Βαβυλῶνι παρὰ ταῖς ὁδοῖς φυομένη.

Περὶ τῆς ἐν παρνασῷ ἀγρώστεως. Κεφ. λβ´.

Ἡ δὲ ἐν τῷ παρνασῷ γινομένη ἄγρωστις, πολυκλαδωτέρα ἐστί· φύλλα δὲ κισσῷ ὅμοια φέρει· ἄνθος λευκὸν, καὶ εὐῶδες· καρπὸν, μικρὸν, οὐκ ἄχρηστον· ῥίζας ε´. ἢ ς´. δακτύλου πάχος, λευκὰς, μαλακὰς, γλυκείας ἰσχυρῶς. ὧν ὁ χυλὸς ἑψηθεὶς σὺν οἴνῳ καὶ μέλιτι συμμέτρῳ καὶ σμύρνης ἡμίσει μέρει, πεπέρει τε καὶ λιβανωτοῦ τῷ τρίτῳ, φάρμακόν ἐστιν ἄριστον πρὸς ὀφθαλμούς· ἀποτίθεται δὲ ἐν χαλκῇ πυξίδι. τὸ δὲ ἀφέψημα τῶν ῥιζῶν, ποιεῖ πρὸς ἃ καὶ αὐτή. τὸ δὲ σπέρμα ταύτης ἰσχυρῶς διουρητικὸν, καὶ ἐμέτων καὶ κοιλίας ῥεούσης σταλτικόν. Ἡ δὲ ἐν κιλικίᾳ γινομένη,

τὴν

ἣν οἱ ἐπιχώριοι κίνναν καλοῦσιν, ὑγρὰ βρωθεῖσα πολλάκις, πίμπρησι τοὺς βόας.

Περὶ Σιδηρίτιδος. Κεφ. λγʹ.

Σιδηρῖτις, οἱ δὲ ἡράκλειαν, πόα ἐστὶ φύλλα ἔχουσα ὅμοια πρασίῳ, ἐπιμηκέστερα δὲ πρὸς τὰ τοῦ ἐλελισφάκου ἢ δρυὸς, μικρότερα μέν τοι καὶ τραχέα· καυλοὺς δὲ ἀνίησι τετραγώνους, σπιθαμιαίους ἢ καὶ μείζονας, οὐκ ἀηδεῖς ἐν τῇ γεύσει, καὶ ποσῶς ὑποστύφοντας· ἐν οἷς ἐκ διαστημάτων σπόνδυλοι περιφερεῖς ὥσπερ πρασίου, καὶ ἐν αὐτοῖς σπέρμα μέλαν· φύεται δὲ ἐν ὑποπέτροις χωρίοις. Δύναμιν δὲ ἔχει τὰ φύλλα καταπλασσόμενα, τραυμάτων κολλητικὴν καὶ ἀφλέγμαντον.

Περὶ Ετέρας σιδηρίτιδος. Κεφ. λδʹ.

Αλλη σιδηρῖτις κλῶνας ἔχει διπήχεις, λεπτούς· φύλλα δὲ ἐπὶ μόσχων μακρῶν, ὅμοια τοῖς τῆς πτέριδος, ἀκροσχιδῆ πολλὰ ἑκατέρωθεν, ἐκ δὲ τῶν ἀνωτέρω μασχαλῶν, ἀποφύσεις μακρὰς, λεπτὰς, ἐπ' ἄκρου σφαιροειδεῖς, κεφαλὴν ἐχούσας τραχεῖαν, ἐν οἷς σπέρμα ὅμοιον σεύτλῳ, στρογγυλώτερον δὲ καὶ σκληρότερον. δύναμις δὲ καὶ ταύτης ἐστὶ καὶ τῶν φύλλων τραυματική.

Περὶ Ετέρας σιδηρίτιδος. Κεφ. λεʹ.

Ετι καὶ ἑτέρα εἶναι λέγεται σιδηρῖτις, ἣν καὶ

quod incolæ cinnā appellant, boues inflammat, ſi eo virenti ſæpe paſcantur.

Sideritis. Cap. XXXIII.

Sideritin aliqui heracleā vocant: folia habet marrubij, ſed longiora, ſatis ad frondē quercus aut ſaluiæ accedētia, minora tamen, & aſpera: caules ædit quadratos, dodrantē altos, ac quandoq; etiam maiores, non iniucūdi guſtus, aliquātúmque ſubſtringētis: in quibus per interſtitia orbiculatæ vertebræ, vt in marrubio, ſpectantur, & ſemē in eis nigrum: naſcitur in petroſis. Illita folia ſuapte vi, vulnera ſine inflāmationis periculo iungunt.

Sideritis altera.
Cap. XXXIIII.

Altera ſideritis binûm cubitorū ramulis, exilibus: folio filicis, numeroſo, vtrinq; per oras diuiſo: pediculo lōgo, prodeūtibus è ſummo alarū ſinu ſurculis, longis, tenuibus: capitulo in cacumine orbiculato, aſpero, in quo ſemen continetur, q̄ betæ rotūdius aliquantò, ac durius. Huius vis, foliorúmque, ad vulnera, præcipua eſt.

Sideritis tertia.
Cap. XXXV.

Sideritin aliam eſſe tradunt,

quam Crateuas heracleam vocat,in materiis,& vineis naſcétem, foliis ab vna radice multis,coriádro ſimilibus, circa coliculos dodrantales,teneros,læues,ſubcádidos atq; ſubrubicūdos: flore puniceo, paruo, guſtanti amaro, & léto. Huius ea vis eſt, vt quanuis recenti vulneri impoſita, ſanguinem ſupprimat.

Achillea. Cap. XXXVI.

Achillea, quibuſdá Achillea ſideritis, dodrátales aut maiores gerit ſcapos, fuſorū effigie, minutulis foliis circūdatos, ex obliquo crebras habétibus inciſuras ſectionibus, coriandro ſimilibus,ſubfuluo colore lentis,odore multo, nō inſuaui,verum medicato: vmbella in cacumine rotunda,floribus candidis [purpureis] & aurū æmulátibꝰ:prouenit lęto ſolo.Trita coma ſanguinoléta glutinat,& ab inflāmationū periculo tuetur:erūpenté ſanguinéinhibet, & cruéta vuluę ꝓfluuia in vellere. Decocto quoque inſidét fœminæ fluxione vuluæ laborantes.Ad dyſenteriá bibitur.

Rubus. Cap. XXXVII.

Rubus,notitię vulgaris.Vim habet ſiccandi , & adſtringendi: capillum tingit . Ramorum deco-

τις, ἣν καὶ αὐτὴν κρατεύας ἡράκλειαν καλεῖ, φυομένην ἐν τοίχοις καὶ ἀμπελῶσιν, ἔχουσα φύλλα πολλὰ ἀπὸ μιᾶς ῥίζης ὅμοια κοριάνῳ περὶ καυλίοις σπιθαμιαίοις, λείοις, τρυφεροῖς, ὑπολεύκοις, ἐνερευθέσιν· αὕτη δὲ φοινικᾶ, μικρά, γευομένῳ πικρά, γλίσχρα, καὶ ταύτης ἡ δύναμις ἐπιτιθεμένης, κολλητικὴ ἐναίμων καὶ νεοτρώτων.

Περὶ Αχιλλείου.

Κεφ. λϛ΄.

Ἀχίλλειος, καλοῦσι τινὲς καὶ τὴν ἀχίλλειον σιδηρῖτιν, φέρει δὲ ῥαβδία σπιθαμιαῖα ἢ καὶ μείζω, ἀτρακτοειδῆ, καὶ περὶ αὐτὰ φυλλάρια λεπτά, ἐκ πλαγίων ἐντομὰς ἔχοντα πυκνάς, προσεμφερῆ κορίῳ, ὑπόπυρρα, γλίσχρα, πολύοσμα, οὐκ ἀηδῆ, φαρμακώδη δὲ τὴν ὀσμήν· σκιάδιον ἐπ᾽ ἄκρου περιφερές, ἄνθη λευκὰ καὶ χρυσίζοντα· φύεται ἐν εὐγείοις τόποις. Καὶ τούτου ἡ κόμη λεία, ἐναίμων ἐστὶ κολλητική, καὶ ἀφλέγμαντος, αἱμορραγίας τε ἐφεκτική, καὶ τῆς ἐκ μήτρας ἐν προσθέτῳ. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς ἐστὶν ἐγκάθισμα ῥοϊκαῖς. πίνεται δὲ καὶ πρὸς δυσεντερίαν.

Περὶ Βάτου. Κεφ. λζ΄.

Βάτος, ἣν γινώσκομεν. στύφει καὶ ξηραίνει· τρίχας βάπτει. τὸ

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0454-7
DFG

τὸ δ' ἀφέψημα τῶν ἀκρεμόνων αὐτῆς, κοιλίαν ἵστησι πινόμενον, καὶ ῥοῦν ἐπέχει γυναικεῖον· καὶ πρηστῆρος δήγματι εὐθετεῖ. κρατύνει δὲ καὶ οὖλα καὶ ἄφθας ὑγιάζει διαμασώμενα τὰ φύλλα, καὶ ἕρπητας ἐπέχει, καὶ ἀχῶρας τοὺς ἐν κεφαλῇ θεραπεύει, καὶ ὀφθαλμῶν προπτώσεις, καὶ κονδυλώματα, καὶ αἱμορροΐδας καταπλασσόμενα τὰ φύλλα. καὶ ἐπὶ στομαχικῶν δὲ καὶ καρδιακῶν λεῖα ἐπιτιθέμενα ἁρμόζει. ὁ δὲ χυλὸς αὐτῆς ἐκθλιβέντων τῶν καυλῶν καὶ τῶν φύλλων, συστραφεὶς ἐν ἡλίῳ, βέλτιον ποιεῖ εἰς πάντα τὰ εἰρημένα. τοῦ δὲ καρποῦ αὐτοῦ ὁ χυλὸς πεπείρου ὄντος τελείως εἰς τὰ στοματικὰ ἁρμόζει· ἵστησι δὲ καὶ κοιλίαν ἐσθιόμενος ὁ μέσος πέπειρος, καὶ τὸ ἄνθος δὲ αὐτῆς ποθὲν σὺν οἴνῳ, κοιλίαν ἵστησι.

Περὶ Ἰδαίας βάτου.

Κεφ. λή.

Βάτος ἰδαία ἐκλήθη μὲν διὰ τὸ πολλὴν ἐν τῇ Ἴδῃ γίνεσθαι. ἔστι δὲ ἁπαλωτέρα πολλῷ τῆς πρὸ αὐτῆς, ἀκάνθας μικρὰς ἔχουσα. δύναται δὲ τὰ αὐτὰ τῇ πρὸ αὐτῆς. ἐκ περισσοῦ δὲ τὸ αὐτῆς ἄνθος σὺν μέλιτι λεανθὲν, ὀφθαλμικαῖς φλεγμοναῖς περιχριόμενον βοηθεῖ, καὶ ἐρισιπέλατα σβέννυσι· στομαχικοῖς τε μεθ' ὕδατος ἐν ποτῷ δίδοται.

Περὶ Ελ-

decoctum, potu aluũ ſiſtit, & fœminarũ profluuia: preſteris morſu accõmodatiſsimũ. Gingiuas firmant, & oris vitijs folia cõmanducata medẽtur, cohibentque illita, vlcera quæ ſerpunt. Vlceribus in capite manãtibus, oculiſq; procidentibus remedio ſunt, & cõdylomatis, & hæmorrhoidibus folia illinuntur. Cardiacis, & ſtomachi doloribus, trita cõueniẽter imponuntur. Caules cũ foliis tunduntur, exprimiturque ſuccus, mox ſole cogitur, ſingulari remedio, cõtra omnia quæ modò dicta ſunt. Mori in rubo naſcẽtis, quamoptimè maturi ſuccus, ad oris medicamẽta cõuenit: ſiſtitur aluus præmaturi cibo, nec nõ flore in vino poto.

Rubus Idæus.

Cap. XXXVIII.

Idæus rubus appellatus eſt, quoniã copioſus in Ida prouenit. Eſt autẽ lõgè tenerior priore, ac minoribus ſpinis horrẽs: quanquã & ſine ſpinis inueniatur. Iuſuper eadem pręſtat, quę ſupradictus. Cæterum flos cũ melle oculorum collectionibus commodiſsimè illinitur, & ignem ſacrum extinguit: ſtomachicisque ex aqua bibendus datur.

Hel-

Universitäts- und Landesbibliothek Düsseldorf urn:nbn:de:hbz:061:2-194136-p0455-3 DFG

Περὶ Ἑλξίνης. Κεφ. λθʹ.

Ελξίνη ἔχει φύλλα ὅμοια κισσῷ, ἐλάττονα δὲ, καὶ κλωνία μικρὰ, περιπλεκόμενα ὅπου ἂν τύχοι. φύεται δὲ ἐν φραγμοῖς καὶ ἀμπελῶσι καὶ σίτῳ. Δύναμιν δὲ ἔχει τῶν φύλλων ὁ χυλὸς πινόμενος λυτικὴν κοιλίας.

Περὶ Ελατίνης. Κεφ. μʹ.

Ελατίνη τὰ μὲν φύλλα ἔχει ὅμοια τῇ ἑλξίνῃ, μικρότερα δὲ καὶ στρογγυλώτερα, δασέα· κλῶνας λεπτοὶς, σπιθαμιαίοις ε. ἢ ϛʹ. ἀπὸ τῆς ῥίζης, φύλλων πλήρης στρυφνῶν ἐν τῇ γεύσει. φύεται ἐν σίτοις καὶ τόποις ἐργασίμοις. Δύναμιν δὲ ἔχει τὰ φύλλα καταπλαττόμενα σὺν ἀλφίτοις, φλεγμαίνοντας καὶ ῥευματιζομένους ὠφελεῖν ὀφθαλμούς. ἑψηθεῖσα δὲ καὶ ῥοφουμένη δυσεντερίαν ἵστησιν.

Περὶ Εὐπατωρίου. Κεφ. μαʹ.

Εὐπατώριον πόα ἐστὶ φρυγανώδης, ῥάβδον ἀναφέρουσα μίαν, λεπτὴν, ξυλώδη, ὀρθὴν, μέλαιναν, ἔνδασυν, πηχυαίαν ἢ καὶ μείζονα· φύλλα δὲ ἐκ διαστημάτων, ἐσχισμένα μάλιστά που εἰς ε. μοίρας ἢ καὶ πλείους, τοῖς τοῦ πενταφύλλου ἢ καννάβεως μᾶλλον ἐοικότα, καὶ αὐτὰ δὲ ὑπομέλανα πριονοειδῶς ἐξ ἄκρων ἐντετμημένα· σπέρμα δὲ περιπέφυκεν ἀπὸ μέσου τοῦ καυλοῦ, ὑπόδασυ, κάτω νενευκὸς, ὡς καὶ τοῖς ἱματίοις ἐνίσχεσθαι ξηρανθέν.

Ταύ-

Helxine. Cap. XXXIX.

Helxine cognométo ciſſampelos, foliis eſt hederæ, minoribus: ramulis exilibus, quibus cóplectitur quodcũq; contigerit adminiculũ. Naſcitur in ſepibus, vinetis, & ſegetibus. Foliorũ ſuccus potu deiicit aluũ.

Elatine. Cap. XL.

Elatine folia habet helxinæ, minora, rotundiora, piloſa: tenuibus & dodrantalibus ramulis, quinis ſeníſve, à radice folioſis, guſtu adſtringétibus. Naſcitur in ſegetibus & cultis. Oculorũ fluxionibus, & inflammationibus auxiliatur, foliis cũ polenta tritis, & impoſitis. Eadem cocta ſorbitionis vſu dyſenteriam ſiſtit.

Eupatorium. Cap. XLI.

Eupatorium, fruticoſa herba eſt, vnicum efferens caulem, lignoſum, nigricantem, rectum, tenuem, hirſutum, cubitalem, interdum ampliorẽ: foliis per interualla quinquefolij, aut cannabis potius ſimilibus, quinquepartito aut amplius diuiſis, nigricantibus, & ipſis per ambitum ſerratis: ſemen medio caule erumpit, piloſum, deorſum ſpectans, quod ſiccatũ veſtibus inhæret.

Con-

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0456-9
DFG

Contrita huius folia, & cũ ſuillo adipe impoſita, vlceribꝰ quę ęgrè cicatricẽ trahunt, medentur. Herba & ſemẽ in vino potũ, dyſenteria, iocineris vitiis, & ſerpẽtiũ ictibus liberat. Nec deſunt, qui aberrãtes argemonẽ hanc appellarint, cũ tamen longè alia ſit, vti expoſuimus.

Quinquefolium.

Cap. XLII.

Quinquefoliũ ramulos fert feſtucarum ſimilitudine, tenues, dodrantales, in quibus ſemen: folia menthæ, quina ſingulis pediculis, raro plura, in ambitu ſerrata: florem ex candido palleſcentem, auri æmulum. Naſcitur in riguis, & aquariis ductibus. Subrubram habet radicem, oblongam, veratro nigro craſsiorem. Plurimis pollet remediis. Ius radicis decoctæ ad tertias, ſi in ore contineatur, dentium dolores ſedat: putrida oris vlcera, collutione ſiſtit: arteriæ ſcabritias, gargarizatu læuigat: contra alui profluuia, & dyſenterias auxiliatur: item articulorum coxendicúmque cruciatibus potum. Cocta in aceto, & illita, ſerpentia vlcera cohibet: ſtrumas, tumores, duritias, abſceſſus & collectiones diſcutit ignes

Ταύτης τὰ φύλλα μετὰ στέατος χοιρείου παλαιοῦ λεῖα ἐπιτεθέντα, τὰ δυσαπούλωτα τῶν ἑλκῶν ἰᾶται. τὸ δὲ σπέρμα καὶ ἡ πόα μετ᾽ οἴνου πινόμενα, δυσεντερικοῖς καὶ ἑρπετοδήκτοις ὠφελεῖ. ἔνιοι ταύτην ἀρτεμισίαν ἐκάλεσαν πλανηθέντες, ἑτέρα γάρ ἐστιν ὡς ὑπεδείξαμεν.

Περὶ Πενταφύλλου.

Κεφ. μβʹ.

Πεντάφυλλον κλῶνας φέρει καρφοειδεῖς, λεπτοὺς, σπιθαμιαίους, ἐφ᾽ ὧν ὁ καρπός· φύλλα δὲ ἔχει ἐοικότα ἡδυόσμῳ, πέντε καθ᾽ ἕκαστον μόσχον, σπανίως δέ που πλείονα, κύκλωθεν ἐσχισμένα πριονοειδῶς· ἄνθος δὲ ὠχρόλευκον, χρυσοειδές. φύεται δὲ ἐν ἐφύδροις τόποις καὶ παρ᾽ ὀχετοῖς. ῥίζαν δὲ ἔχει ὑπέρυθρον, ἐπιμήκη, παχυτέραν ἐλλεβόρου μέλανος. ἔστι δὲ πολύχρηστος. Δύναται δὲ τὸ τῆς ῥίζης ἀφέψημα ἄχρι τρίτου καταβιβασθὲν ἐν τῇ ἑψήσει, ὀδονταλγίας παύειν διακρατούμενον ἐν τῷ στόματι· καὶ σηπεδόνας τὰς ἐν τῷ στόματι διακλυζόμενον ἵστησι· καὶ τραχύτητας ἀρτηρίας ἀναγαργαριζόμενον παραιλεῖται· κοιλίᾳ τε ῥεούσῃ καὶ δυσεντερίᾳ βοηθεῖ· ἀρθριτικοῖς τε καὶ ἰσχιαδικοῖς πινόμενον. ἑφθὴ δὲ ἐν ὄξει λεία καταπλασσομένη, ἕρπητας ἐπέχει· διαφορεῖ χοιράδας, σκληρίας, οἰδήματα, ἀνευρύσματα, ἀποστήματα. ἐρυσιignes ſacros, reduuias, condylomata, pſoráſque ſanat. Teneræ radicis ſuccus, contra iocineris, pulmonúmq; vitia prodeſt: item aduerſum venena. Cum hydromelite autem, vel diluto vino, & piperis exiguo, bibuntur folia, contra febrium circuitus, in quartana quidem, quaternûm ramulorum: in tertiana verò, ternûm: in quotidiana, vnius. Ea quoque folia, tricenis pota diebus, comitialibus proſunt. Foliorum ſuccus, tribus cyathis aliquot dies potus, celerrimè regio morbo medetur. Illita cum melle & ſale, tam vulneribus quàm fiſtulis remedio ſunt: enterocelicis auxilium præſtant, Quinquefoliū ſanguinis profluuia & potu & illitu ſiſtit. Ad expiationes, caſtimonias, & incantamenta inciditur.

Phœnix. Cap. XLIII.

Phœnix folia habet hordei, ſed breuiora, & anguſtiora, ſpicam lolio ſimilem: calamos digitorum ſenûm, radici aduolutos: ſeptenas octonáſve ſpicas. In aruis tectíſque recenter illitis naſcitur. Harum viriū compos, vt in vino auſtero pota, alui profluuium, & emanantem vulua ſanguiné ſiſtat,

vrinæ

ἐρισιπέλατα, πτερύγια τὰ ἐν δακτύλῳ, καὶ κονδυλώματα καὶ ψώρας ἰᾶται. ὁ δὲ χυλὸς τῆς ῥίζης ἁπαλῆς, ποιεῖ πρὸς τὰ ἐν ἥπατι καὶ πνεύμονι πάθη καὶ τὰ θανάσιμα. τὰ δὲ φύλλα πίνεται καὶ μεθ᾽ ὑδρομέλιτος ἢ οἴνου κεκραμένου καὶ πεπέρεως ὀλίγου πρὸς περιόδους, ἐπὶ μέν τοι τεταρταίου, τεσσάρων κλωναρίων φύλλα, ἐπὶ δὲ τριταίου τριῶν, ἐπὶ δὲ ἐφημερινοῦ ἑνός.. ἀρήγει δὲ καὶ ἐπιληψίας πινόμενα ἐφ᾽ ἡμέρας λ΄. ὑγιάζει δὲ καὶ ἴκτερον ταχέως ὁ χυλὸς τῶν φύλλων ποθεὶς ἐπί τινας ἡμέρας τριῶν κυάθων πλῆθος. τραύματά τε καὶ σύριγγας μεθ᾽ ἁλῶν καὶ μέλιτος καταπλαττόμενα ἰᾶται· βοηθεῖ δὲ καὶ ἐντεροκηλικοῖς, καὶ αἱμοῤῥαγίας ἵστησι πινόμενον καὶ καταπλασσόμενον. τέμνεται δὲ καὶ πρὸς καθαρμοὺς καὶ αἱμοῤῥαγίας καὶ ἁγνείας.

Περὶ Φοίνικος. Κεφ. μγ΄.

Φοῖνιξ, οἱ δὲ ῥουῶ, οἱ δὲ ἀγχίνωπα, τὰ μὲν φύλλα ἔχει ὅμοια κριθῇ, βραχύτερα δὲ καὶ στενώτερα, στάχυν δὲ ἐμφερῆ τῇ αἴρᾳ· κλῶνας δὲ ἑξαδακτύλους κύκλῳ τῆς ῥίζης. καὶ στάχυς ζ΄. ἢ η΄. φύεται δὲ ἐν ἀρούραις, καὶ ἐπὶ τῶν στεγῶν τῶν νεοκαταχρίστων. Δύναμιν δὲ ἔχει πινόμενον ἐν οἴνῳ αὐστηρῷ, διάῤῥοιαν καὶ αἱμοῤῥαγίαν τὴν ἐκ μήτρας καὶ οὔρων πλείονα φορὰν ἱστᾷ. ἱστοροῦσι δέ τινες καὶ ἴσχαιμον αὐτὴν εἶναι ἐνδεσμουμένην φοινικῷ ἐρείῳ καὶ περιαπτομένην.

Περὶ Ἰδαίας ῥίζης. Κεφ. μδ΄.

Ἰδαία ῥίζα, ὀξυμυρσίνῃ τὰ φύλλα ἔοικε· παρ᾽ αὐτὰ δὲ ὡς ἕλικες μικραὶ πεφύκασιν, ἐξ ὧν καὶ τὸ ἄνθος. ταύτης ἡ ῥίζα στυπτικὴ σφόδρα, ἁρμόζουσα ἐφ᾽ ὧν στύψεως ἐστὶ χρεία. πίνεται δὲ καὶ πρὸς κοιλίας ῥεύματα καὶ ῥοῦν γυναικεῖον· αἱμοῤῥαγίαν τε πᾶσαν ἵστησι.

Περὶ Ῥοδίας ῥίζης.
Κεφ. με΄.

Ῥοδία ῥίζα γεννᾶται ἐν μακεδονίᾳ, ἐοικυῖα κόστῳ, κουφοτέρα δὲ καὶ ἀνώμαλος ῥόδων ἐν τῇ διατρίψει ἀποφορὰν ποιοῦσα ὁμοίαν· χρησιμεύει δὲ ἐπὶ τῶν κεφαλαλγούντων σὺν ῥοδίνῳ ὀλίγῳ λεπτὴ ἐπιτιθεμένη καὶ ἐμβρεχομένη μετώπῳ καὶ κροτάφοις.

Περὶ Ἱππούριδος. Κεφ. μς΄.

Ἵππουρις φύεται ἐν τόποις ἐφύδροις καὶ τάφροις· καυλία ἔχει κενὰ, ὑπέρυθρα, ὑποτράχεα, στερεὰ, γόνασι διειλημμένα, ἐμπεφυκόσιν εἰς ἄλληλα, περὶ δὲ αὐτὰ σχοινώδη φύλλα πυκνὰ, λεπτά. αὔξεται δὲ εἰς ὕψος ἀναβαίνουσα ἐπὶ τὰ παρακείμενα στελέχη καὶ κατακρημνᾶται περικεχυμένη κόμαις πολλαῖς μελαίναις καθάπερ ἵππου οὐρά. ῥίζα ξυλώδης, σκληρά.

Στυπτι-

vrinæ impetus infrænet. Sunt qui adalligatã in puniceo vellere & ſuſpenſam, ſanguinem ſupprimere prodant.

Idæa radix. Cap. XLIIII.

Idææ radici folia ſunt ea quæ ruſco: circum ea veluti exigui capreoli ſunt, in quibus flos. Radix ſpiſſandi naturam habet, his conueniens quibus adſtrictione opus eſt. Pota, citam aluum: menſeſque, & omnem abundantiam ſanguinis ſiſtit.

Rhodia radix.
Cap. XLV.

Gignitur Rhodia radix in Macedonia, coſto ſimilis, leuior, inęquabilis: quæ contrita roſas redolet. Vtiliſsima capitis doloribus, ſi madefacta fronti & temporibus cum roſacei momento imponatur.

Equiſetum. Cap. XLVI.

Equiſetum in riguis & ſcrobibus naſcitur: cauliculi prodeunt inanes, geniculati, in ſe farcti, rubeſcentes, leniter ſcabri, duri, & iuncea circa eos folia, crebra, exilia. In ſublime attollitur, vicinos arborum caudices ſcandens, obuolutumque dependet, comis multis, nigris, vt equorum cauda: radix lignoſa dura.

Vis herbæ ſpiſſare : quare ſanguiné naribus erumpenté ſuccus ipſe ſiſtit:prodeſt dyſentericis in vino potus: vrinam cit. Sanguinolenta vulnera glutinantur tritis foliis, & illitis. Radix cũ ſua herba tuſsim, orthopnœam, ruptáque adiuuat. Foliis in aqua potis, diſſectiones veſicæ & inteſtinorum, enterocelæq; in vnum coaleſcere, cogíq; feruntur.

Equiſetum alterum.

Cap. XLVII.

Alterũ equiſetum caulis eſt rectus, æqualis, cubito maior, inanis: comis per interualla breuioribus, cãdidioribus, & mollioribus. Id cum aceto tritum vulneribus remedio eſt, eadémque fungitur facultate.

Coccum infectorium.

Cap. XLVIII.

Coccũ quo infectores vtuntur, frutex eſt ſurculoſus, paruus, cui grana ceu lẽtes adhærẽt, quę electa cõgerũtur. Optimũ gignitur in Galatia, & Armenia, deinde Aſia, & Cilicia: vltimũ ex omnibus Hiſpanicũ. Vis huic ſpiſſandi · vulneribus, neruíſq; pręciſis, cõueniẽter ex aceto tritum illinitur. Naſcitur quoq; in Cilicia, è quercubus, cochlearũ exiliũ ſimilitudine, quod

Στυπτικὴ δὲ ἡ πόα· ὅθεν ὁ χυλὸς αὐτῆς αἱμοῤῥαγίας ἵστησι τὰς ἐκ μυκτήρων· ϗ δυσεντερείας ὠφελεῖ πινόμενος μετ᾽ οἴνου· κινεῖ δὲ οὖρα. τὰ δὲ φύλλα ἔναιμα τραύματα κολλᾷ λεῖα ἐπιπασσόμενα. ἡ δὲ ῥίζα ϗ ἡ πόα βήσσουσί τε ϗ ὀρθοπνοϊκοῖς ϗ ῥηγματίαις ἀρήγει. ἱστορεῖται δὲ ϗ ἐντέρου διαιρέσεις ϗ κύστεως διακοπὴν, ϗ ἐντεροκήλην συνάγειν τὰ φύλλα πινόμενα ἐν ὕδατι.

Περὶ Ετέρας ἱππούριδος. Κεφ. μζ΄.

Ἱππουρις ἑτέρα κόμας ἐκ διαστημάτων ἔχουσα βραχυτέρας καὶ λευκοτέρας καὶ μαλακωτέρας. ἥ τις ϗ αὐτὴ λεανθεῖσα σὺν ὄξει τραύματα ἰᾶται τὴν αὐτὴν ἔχουσα δύναμιν.

Περὶ Κόκκου βαφικῆς.

Κεφ. μη΄.

Κόκκος βαφικὴ θάμνος ἐστὶ μικρὸς φρυγανώδης ᾧ προσκεῖνται οἱ κόκκοι ὡς φακοὶ, οἵ τινες ἐκλεγόμενοι συντίθενται. ἀρίστη δέ ἐστιν ἡ γαλατικὴ καὶ ἡ ἀρμενιακὴ, ἔπειτα ἡ ἐν ἀσίᾳ καὶ ἡ κιλίκειος· ἐσχάτη δὲ πασῶν ἡ ἐν ἱσπανίᾳ. Δύναμιν δὲ ἔχει στυπτικὴν· ἁρμόζουσαν τραύμασι καὶ νεύρων τρώσεσι, λεῖα μετὰ ὄξους καταπλασσομένη. γίνεται δὲ ἡ ἐν κιλικίᾳ ἐν τοῖς δρυσὶν ὁμοίως κοχλίᾳ μικρῷ, ἣν αἱ τῇδε γυναῖκες τῷ στόματι ἀναλέγουσαι κόκκον καλοῦσιν.

Περὶ Τραγίου. Κεφ. μθʹ.

Τράγιον φύεται μὲν ἐν κρήτῃ μόνῃ, ἔχει δὲ τὰ φύλλα σχίνῳ ὅμοια, καὶ τὰς ῥάβδους καὶ τὸν καρπὸν, μικρότερα δὲ πάντα, φέρει δὲ ὀπὸν κόμμει παραπλήσιον. Ταύτης τὰ φύλλα καὶ ὁ καρπὸς καὶ τὸ δάκρυον καταπλασσόμενα σὺν οἴνῳ, ἐπισπᾶται σκόλοπας καὶ πάντα τὰ ἐμπηγνύμενα. πινόμενα δὲ στραγγουρίαν ἰᾶται. καὶ λίθους τοὺς ἐν κύστει θρύπτει, καὶ καταμήνια ἄγει. λαμβάνεται δὲ ὁλκὴν < ά. φασὶ δὲ καὶ τὰς ἀγρίας αἶγας τοξευθείσας καὶ νεμηθείσας τὴν πόαν, ἐκβάλλειν τὰς ἀκίδας.

Περὶ ἄλλου τραγίου.
Κεφ. νʹ.

Τράγιον ἄλλο τὰ μὲν φύλλα ἔχει ὅμοια σκολοπενδρίῳ, ῥίζαν δὲ λεπτὴν, λευκὴν, παραπλησίαν ῥαφανῷ ἀγρίᾳ· Ἥτις βοηθεῖ δυσεντερικοῖς ὠμή τε καὶ ἑφθὴ ἐσθιομένη. προβάλλει δὲ κατὰ τὸ φθινόπωρον τὰ φύλλα τράγου ὀσμήν· ὅθεν καὶ ὠνόμασται τράγιον.

Περὶ Τράγου Κεφ. ναʹ.

Τράγος, οἱ δὲ, σκορπίον, οἱ δὲ, τράγανος· φύεται παρὰ θαλάττῃ μάλιστα, θαμνίσκος ἐπὶ γῆς, ἐπιμήκης, οὐ μέγας, ὅσον σπιθαμῆς ἢ μείζων,

quod illius regionis mulieres ore legunt, & coccũ vocitant.

Tragium. Cap. XLIX.

Tragiũ naſcitur in Creta tantũ inſula, létiſco ſemine, folio, & ramis ſimile, ſingulis tamen minorib⁹, ſuccus ei lacteus, gũmi non diſsimilis. Semen, folia, lachrymáq;, illitu ſpicula è corpore eiiciunt: omnia quoque corpori impacta, euocant: pota ſtranguriæ medentur, calculos veſicæ frangunt, menſes trahunt. Modus in ſumptione eſt, drachma vna. Fama eſt ſylueſtres capras ſagittis confoſſas, eius herbæ pabulo ſpicula excutere.

Tragium alterum.
Cap. L.

Eſt & alterum tragium, quod tragoceros aliqui vocant, folia ſcolopendrij habet, & radicem ſylueſtris raphani, tenué, candidam: quam crudam vel coctam eſſe dyſentericis prodeſt. Folia autumno, hirci virus olent: exinde ſibi tragij nomen adoptauit. Prouenit in montibus, & præcipitiis.

Tragum. Cap. LI.

Eſt etiã herba tragos, quã aliqui ſcorpiõ aut traganõ vocãt: maximè in maritimis naſcens, palmum alta aut amplior, fruticoſa,

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0461-5
DFG

ticoſa, humilis, oblonga, ſine foliis, puſillis circa ramos acinis, rufis, multis, magnitudine tritici, acuto cacumine, guſtu multum adſtringente. Racemorum acini decem ex vino poti, cœliacis, & fœminis fluxione vuluæ laborantibus, auxiliantur. Tunduntur à pleriſque, & in paſtillos digeſti aſſeruantur, quibus vtuntur cum opus eſt.

Iuncus. Cap. LII.

Iunci duo genera: vnũ læuis nominati, alterum acuti, qui in mucronem faſtigiatur. Cuius etiam duo aſsignantur genera: vnũ ſterile, reliquum fert ſemẽ nigrũ, rotudũ, & craſsiore conſtat calamo, carnoſioréq;. Tertius eſt iuncus qui vocatur oloſcœnos, prioribꝰ carnoſior, aſperiórq;, is ſimilem ſupradicto fructum in cacumine parit. Semen vtriuſque toſtum, ex diluto vino potũ, ſiſtit aluum, & rubra fœminarum profluuia: vrinam cit, capitiſque dolores facit. Quæ proxima ſunt radici folia tenera, conuenienter illinuntur, aduerſus phalangiorum morſus. Æthiopici iunci ſemine ſomnus allicitur: ſed modus in potione ſeruandus eſt, ne ſopor fiat.

Lichen.

ζων, φύλλα δὲ οὐκ ἔχει, ἐπὶ δὲ τῶν κλάδων πρόσκεινται οἱονεὶ ῥάγες μικραὶ, πυῤῥαὶ, κατὰ μέγεθος πυροῦ, ὀξεῖαι ἐπ' ἄκρου, πολλαὶ λίαν γευσαμένῳ στυπτικαί. τούτου ὁ καρπὸς ὡς ῥάγες δέκα σὺν οἴνῳ ποθεῖσαι, κοιλιακοὺς δὲ καὶ ῥοϊκὰς γυναῖκας ὠφελοῦσιν. ἔνιοι δὲ καὶ κόπτοντες αὐτὸν, ἀναπλάττουσι τροχίσκοις εἰς ἀπόθεσιν καὶ οὕτω χρῶνται.

Περὶ Σχίνου. Κεφ. νβ΄.

Σχίνος τούτου διττὸν εἶδος. τὸ μέν τοι αὐτοῦ καλεῖται σχῖνος λεία, τὸ δὲ, ὀξύσχινος ἄποξυς ἐπ' ἄκρου, διττὸν δὲ καὶ ταύτης εἶδος· ἡ μὲν γὰρ ἄκαρπος, ἡ δὲ, καρπὸν μέλανα ἔχει περιφερῆ, παχύτεροι δὲ ταύτης οἱ κάλαμοι, καὶ σαρκωδέστεροι. Ἐστι δὲ καὶ τρίτη πολλῷ σαρκωδεστέρα καὶ τραχυτέρα τοῖν δυοῖν, ὁλόσχινος λεγομένη, ἔχει δὲ καὶ αὐτὴ καρπὸν ἐπ' ἄκρου ὅμοιον τῷ περὶ αὐτῆς. Ἀμφοτέρων δὲ ὁ καρπὸς φρυγεὶς καὶ πινόμενος μετὰ κράματος, κοιλίαν καὶ ῥοῦν ἐρυθρὸν ἵστησι, καὶ οὖρα κινεῖ· ἔστι δὲ καὶ κεφαλαλγές. τὰ δὲ πρὸς τὴν ῥίζαν ἁπαλὰ φύλλα καταπλαττόμενα, φαλαγγιοδήκτοις ἁρμόζει. Ἡ δὲ αἰθιοπικὴ σχῖνος, ὑπνωτικὸν ἔχει τὸν καρπόν· φυλάττεσθαι δὲ δεῖ αὐτοῦ ἐν ταῖς πίσεσι τὸ πλῆθος, καροῖ γὰρ λίαν.

Περὶ Λει-

Περὶ Λειχῆνος. Κεφ. νγ'.

Λειχὴν, ὁ ἐπὶ τῶν πετρῶν, οἱ δὲ, βρύον καλοῦσι, βρύον ἐστὶ προσεχόμενον ταῖς ἐνδρόσοις πέτραις. τοῦτο καταπλασθὲν αἱμοῤῥαγίας ἵστησι, καὶ φλεγμονὰς παραιτεῖται, καὶ λειχῆνας θεραπεύει· ὠφελεῖ δὲ καὶ ἰκτερικοὺς μετὰ μέλιτος διαχριόμενον· στόματος δὲ καὶ τῆς γλώττης ῥευματισμοὺς παραιτεῖται.

Περὶ Παρωνυχίας. Κεφ. νδ'.

Παρωνυχία φύεται ἐν πέτραις θαμνίσκιον ὅμοιον πέπλῳ, τῷ δὲ μήκει ἔλαττον, τοῖς δὲ φύλλοις μεῖζον. ὅπερ καταπλασθὲν λεῖον ὅλον παρωνυχίας καὶ κηρία θεραπεύει.

Περὶ Χρυσοκόμης. Κεφ. νε'.

Χρυσοκόμη ῥαβδίον ἐστὶ σπιθαμιαῖον· ἔχον κόμην κορυμβοειδῆ, ὁμοίαν ὑσσώπῳ· ῥίζαν δασεῖαν, λεπτὴν, ὡς ἐλλεβόρου μέλανος· γευσαμένῳ οὐκ ἀπηνῆ, κυπέρῳ ἴσην οὖσαν, ἐν τῷ γλυκεῖ ὑπαύστηρον· φύεται ἐν παλισκίοις καὶ πετρώδεσι. Δύναμιν δὲ ἔχει θερμαντικὴν καὶ στυπτικὴν ἡ ῥίζα· ἡπατικοῖς καὶ περιπνευμονικοῖς ἁρμόζουσαν· λαμβάνεται δὲ καὶ σὺν ὑδρομέλιτι ἑφθὴ πρὸς κάθαρσιν ὑστέρας.

Περὶ Χρυσογόνου. Κεφ. νς'.

Χρυσόγονον φύλλα ἔχει ὅμοια δρυῒ, ὁ δὲ θάμνος ἐστὶ πυκνός· ἄνθος δὲ παραπλήσιον τῷ στεφανωματι-

Lichen. Cap. LIII.

Lichen, qui ſaxis eſt familiaris, aliquibus bryon appellatur: aſperginoſis petris adhæret, vt muſcus. Is illitus ſanguinis profluuia ſiſtit, inflammationes arcet, impetigini medetur. Iuuat regio morbo correptos, cum melle illitus: oris & linguæ defluxiones inhibet.

Paronychia.
Cap. LIIII.

Paronychia exiguus frutex, in petris naſcens, peplo ſimilis, minor longitudine, maioribus foliis. Illita paronychiis atque duritiis, remedio eſt.

Crhyſocome.
Cap. LV.

Chryſocome palmi altitutudine fruticat: coma ſpecie corymborũ, hyſſopo ſimili: radice hirſuta, veratri nigri modo, tenui, cyperum æquante: guſtu non iniucundo, ex dulci auſtero: in petroſis opacíſque naſcitur. Radix calfacit, & adſtringit: his conueniens, quos iecur aut pulmonis inflammatio malè habet: contra purgationes vuluæ, decocta cum hydromelite aſſumitur.

Chryſogonum. Cap. LVI.

Chryſogonũ denſe fruticat, quernis foliis: flore coronarij verbaſci:radix vt rapum extuberat, intus ruberrima,foris nigra. Quæ trita cum aceto,atq; impoſita, muris aranei morſibus auxiliatur.

Elichryſum. Cap. LVII.

Elichryſon quidam chryſanthemon, nonnulli & id amaranton vocant, quo deorũ ſimulacra coronant:ramulũ habet candidum, virentem, rectum,firmum:folia intercedentibus ſpatiis anguſta,abrotono ſimilia: comam aureæ lucis in orbem, vmbella rotunda veluti ſiccis corymbis dependentibus,radice tenui:naſcitur in aſperis,& torrentiũ alueis. Contra ſerpentium ictus,coxendicũ dolores,vrinæ ſtillicidia,ruptáque,coma è vino pota opitulatur: ciet menſes. Sanguinẽ concretũ ventris ac veſicæ abſumit,pota cum mulſo:ieiunis, triũ obolorũ põdere, ſiſtit deſtillationes, data in vino albo diluto:veſtibus inſeritur,vt eas ab erodentiũ iniuriis tueatur.

Chryſanthemum.
Cap. LVIII.

Chryſáthemũ aut caltha,nõnullis buphthalmos: herba eſt tenera,fruticoſa,lęues proferẽs caules,& multifida folia:flores ſupra modũ ſplẽdentes,luteos,

orbem

ματικῷ φλόμῳ. ῥίζαν ὁμοίαν γογγύλῃ, ἔνδοθεν ἰσχυρῶς ἐρυθράν, ἔξωθεν δὲ μέλαιναν. ἥ τις βοηθεῖ σὺν ὄξει λεανθεῖσα καὶ ἐπιτεθεῖσα μυγαλῆς δήγμασιν.

Περὶ Ἑλιχρύσου. Κεφ. νζ.

Ἑλίχρυσον, οἱ δὲ χρυσάνθεμον, οἱ δὲ, καὶ τοῦτο ἀμάραντον καλοῦσιν, ᾧ καὶ τὰ εἴδωλα στεφανοῦσι· ῥαβδίον λευκὸν, χλωρὸν, ὀρθὸν, στερεόν· φύλλα στενὰ, ἐκ διαστημάτων ἔχον πρὸς τὰ τοῦ ἀβροτόνου· κόμην, κυκλοτερῆ, χρυσοφανῆ, σκιάδιον περιφερὲς, ὥσπερ κορύμβοις ξηροῖς, ῥίζαν λεπτήν. φύεται δὲ ἐν τραχέσι καὶ χαραδρώδεσι τόποις. Βοηθεῖ δὲ ἡ κόμη σὺν οἴνῳ ποθεῖσα, δυσουρίαις καὶ ἑρπετῶν δήγμασι, καὶ ἰσχιάσι καὶ ῥήγμασι· καὶ ἔμμηνα ἄγει. καὶ θρόμβους αἵματος τοὺς ἐν κύστει ἢ κοιλίᾳ τήκει σὺν οἰνομέλιτι πινομένη· ἴσχει δὲ καὶ κατάρρουν ὅσον τριώβολον νήστει δοθεῖσα ἐν κράματι οἴνου λευκοῦ· συντίθεται δὲ καὶ μετὰ ἱματίων ἄβρωτα τηροῦσα αὐτά.

Περὶ χρυσανθέμου.
Κεφ. νή.

Χρυσάνθεμον, ἢ χαλκὰς, οἱ δὲ βούφθαλμον· τρυφερά τις πόα, θαμνοειδὴς δὲ, λείοις ἀναφέρουσα καυλοὶς καὶ φύλλα πολυσχιδῆ· ἄνθη μήλινα, ἰσχυρῶς στίλβοντα,

ϗ

καὶ ὀφθαλμὸν κυκλοτερῆ, διὸ καὶ οὕτως ὠνόμασται· φύεται περὶ τὰς πόλεις· οἱ καυλοὶ δ' αὐτοῦ λαχανεύονται. Τὰ δὲ ἄνθη λεῖα μετὰ κηρωτῆς, στεατώματα λέγεται διαφορεῖν· ἰκτερικοὺς δὲ προσκαίρως εὐχροεῖν ποιεῖ ποθεῖσα μετὰ τὴν ἐν τοῖς λουτροῖς ἀπὸ τῆς μακρᾶς διατριβῆς ἔξοδον.

Περὶ Ἀγηράτου. Κεφ. νθʹ.

Ἀγήρατον θάμνος ἐστὶ φρυγανώδης, σπιθαμώδης, ταπεινὸς, ἁπλοῦς, ἐμφερὴς μάλιστα ὀριγάνῳ· σκιάδιον ἔχων, ἐφ' οὗ ἄνθος πομφολυγῶδες, χρυσοειδὲς, ἔλαττον ἐλιχρύσου. ὠνόμασται δὲ ἀγήρατον, διὰ τὸ ἐπιπολὺ τὸ ἄνθος ὁμοιοειδὲς φυλάττεσθαι. Δύναμιν δὲ ἔχει τὸ ἀφέψημα αὐτοῦ πυρωτικήν· καὶ αὐτὴ ἡ πόα ὑποθυμιωμένη οὖρα ἄγειν, καὶ τὰ περὶ ὑστέραν μαλάττειν.

Περὶ Περιστερεῶνος.
Κεφ. ξʹ.

Περιστερεὼν φύεται ἐν ἐνύδροις τόποις. δοκεῖ δὲ ὠνομάσθαι ἐκ τοῦ τὰς περιστερὰς ἡδέως διατρίβειν ἐν αὐτῇ. πόα δέ ἐστι σπιθαμὴν ἔχουσα τὸ ὕψος, ἢ καὶ μεῖζον, πέταλα ἐντετμημένα, ὑπόλευκα, ἐκπεφυκότα ἐκ τοῦ καυλοῦ· μονόκλωνος ὡς τοπολὺ καὶ μονόῤῥιζος εὑρίσκεται. Δοκεῖ τε τὰ φύλλα σὺν ῥοδίνῳ ἢ στέατι χοιρείῳ νεαρῷ προστιθέμενα, ἀνωδυνίαν ὑστέρας ποιεῖν.

orbẽ oculi imitantes,vnde buphthalmi nomẽ traxit:propter oppida naſcitur. Cuius caules oleris vice manduntur. Flores cũ cerato triti,ſteatomata diſcutere produntur: regio morbo correptis,colorẽ breui reddunt, ſi ſequente longo balnei vſu,poſt exitum ebibantur.

Ageratum. Cap. LIX.

Ageraton fruticoſa herba eſt, palmari longitudine aſſurgens, ſimplex, humilis, origano maximè ſimilis: vmbellam gerit, in qua *flos bullis* aureis emicat, elichryſo minor. Nomen ei inditum eſt, quoniam diutiſsimè flos in ſua coloris ſpecie conſeruetur. Vis decocti feruens: huius vſtæ nidor vrinam cit, & vuluæ duritias emollit.

Verbenaca. Cap. LX.

Periſterion, ſiue verbenaca naſcit̃ in aquoſis. Nomẽ ex eo duxiſſe videtur, ꝙ colũbæ circa hãc perquàm libẽter verſari soleant. Dodrantis altitudine, & interdum amplius adoleſcit: folia è caule prodeũt inciſa, & ſubalbida: ea ſingulari ramo, radicéq; ſola, cõſtare ſępius inuenitur. Folia cum ſuilla adipe recenti, aut roſaceo impoſita, vuluarũ doloresfinire putãtur:

ignem ſacrum illita ex aceto reprimunt: putrida vlcera cohibent: vulnera glutinant: veteráque ex melle, ad cicatricem perducunt.

Sacra herba. Cap. LXI.

Sacra herba, quæ & peristereon nominatur, ramulos emittit cubitales, aut maiuſculos, anguloſos, in quibus ex interuallis folia querc⁹, ſed minora anguſtioráq; eiſdem diuiſuris in ambitu, colore aliquatenus cęſio: radix longa, tenuis· flores purpurei, graciles. Folia cũ radice in vino pota, illitáve, aduerſus ſerpẽtes pollent: eadem drachmæ põdere cũ thuris obolis tribus, in vini veteris hemina, quadragenis diebus, ieiuno ore, cõtra regiũ morbũ bibũtur: veteres tumores & inflãmationes mitigãt: ſordida vlcera purgãt. Tota in vino decocta, tonſillarũ cruſtas abrumpit: oris nomas gargarizatu cohibet. Aiunt, ſi aqua ſpargatur tricliniũ, qua maduerit, lætiores cõuictus fieri. Datur potãdum in tertianis febribus, tertium à terra geniculũ, cum foliis circundantibus: quartanis, quartũ. Sacrã vocant herbam, quoniam multum ad amuleta, expiationesq; commendetur.

Aſtra-

στέλλει δὲ καὶ ἐρυσιπέλατα σὺν ὄξει καταπλασθεῖσα, καὶ σηπεδόνας ἐπέχει. καὶ τραύματα κολλᾷ, καὶ ἀπουλοῖ τὰ παλαιὰ σὺν μέλιτι.

*Περὶ Ἱερᾶς βοτάνης. Κεφ. ξά.

Ἱερὰ βοτάνη, οἱ δὲ περιστερεῶνα ἐκάλεσαν, ῥάβδοις ἀνίησι πηχυαίοις ἢ καὶ μείζονας γωνιοειδεῖς, περὶ ἃς τὰ φύλλα ἐκ διαστημάτων ἐοικότα δρυῒ, πλὴν στενώτερα καὶ ἥττονα, ἐντετμημένα δὲ τῷ κύκλῳ, ὑπόγλαυκα· ῥίζαν δὲ ὑπομήκη, λεπτήν· ἄνθη πορφυρᾶ, λεπτά. Ταύτης τὰ φύλλα καὶ ἡ ῥίζα ποτιζόμενα μετ᾽ οἴνου καὶ καταπλαττόμενα, ποιεῖ πρὸς ἑρπετά· πρὸς δὲ ἴκτερον τὰ φύλλα ὅσον < ὁλκὴν μετὰ λιβανωτοῦ τριωβόλου, σὺν οἴνου παλαιοῦ κοτύλῃ μιᾷ νήστει ἐφ᾽ ἡμέρας μ´. πινόμενα· οἰδήματά τε χρόνια καὶ φλεγμονὰς καταπλασθέντα πραΰνει· καὶ ῥυπαρὰ ἕλκη καθαίρει. ἑψηθεῖσα δὲ ὅλη σὺν οἴνῳ, ἐσχάρας τὰς ἐν παρισθμίοις περιρήττει καὶ νομὰς τὰς ἐν στόματι ἀναγαργαριζομένη ἐφίστησι. ῥαινόμενόν τε ἐν συμποσίοις τὸ ἀπόβρεγμα, εὐδιαγωγοτέρους ἱστορεῖται ποιεῖν· δίδοται δὲ τριταΐζουσι πιεῖν τὸ τρίτον γόνυ ἀπὸ τῆς γῆς σὺν τοῖς περικειμένοις φύλλοις· τεταρταΐζουσι δὲ τὸ τέταρτον. καλοῦσι δὲ αὐτὴν ἱερὰν βοτάνην διὰ τὸ εὔχρηστον ἐν τοῖς καθαρμοῖς εἶναι εἰς περιάμματα.

Περὶ

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0466-4
DFG

Περὶ Ἀστραγάλου. Κεφ. ξϐ΄.

Ἀστράγαλος θαμνίσκος ἐστὶ μικρὸς ἐπὶ γῆς, φύλλοις καὶ κλωνίοις ὅμοιος ἐρεβίνθῳ· ἄνθη πορφυρᾶ, μικρά· ῥίζα δ' ὕπεστι στρογγύλη ὥσπερ ῥάφανος εὐμεγέθης, παραφυάδας ἔχουσα στερεὰς, μελαίνας, σκληροτέρας ὡς κέρατα ἀντεπεπλεγμένας ἀλλήλαις, γευσαμένῳ στυπτικάς. φύεται δὲ ἐν εὐανέμοις καὶ συσκίοις καὶ χιονιζομένοις τόποις. πολλὴ δὲ ἐν μέμφιδι τῆς ἀρκαδίας. Ἵστησι δὲ κοιλίαν ῥευματιζομένην ἐν οἴνῳ ποθεῖσα ἡ ῥίζα· κινεῖ τε καὶ οὖρα· ποιεῖ καὶ πρὸς παλαιὰ ἕλκη ξηρὰ ἐπιπασσομένη· καὶ αἷμα ἴσχει· κόπτεται δὲ δυσχερῶς διὰ τὸ στερεὸν αὐτῆς.

Περὶ Ὑακίνθου.

Κεφ. ξγ΄.

Ὑάκινθος φύλλα ἔχει ὅμοια βολβῷ· καυλὸν σπιθαμιαῖον, λεῖον, λεπτότερον τοῦ μικροῦ δακτύλου, χλωερόν· κόμην ἐπικειμένην κυρτὴν ἄνθους πλήρη πορφυροειδοῦς· ῥίζαν καὶ αὐτὴν ἐμφερῆ βολβῷ. Ἥτις σὺν οἴνῳ καταπλασθεῖσα λευκῷ ἐπὶ παίδων, ἀνήβους τηρεῖν πεπίστευται· ἵστησι δὲ καὶ κοιλίαν, καὶ οὖρα ἄγει ποθεῖσα, καὶ φαλαγγιοδήκτοις ὠφελεῖ. ὁ καρπὸς δὲ στυπτικώτερος ὢν, καὶ αὐτὸς, θηριακοῖς ἁρμόζει· ἰκτερόν τε ἀποκαθαίρει σὺν οἴνῳ πινόμενος.

Aſtragalus. Cap. LXII.

Aſtragalus, paruus à terra frutex, foliis & ramis ciceri ſimilis: flore purpureo, paruo: radice rotunda, raphani modo grandi, quæ adnatas appendices firmas habet, nigras, præduras, veluti cornua inter ſe implicatas, guſtu adſtringentes. naſcitur in ventoſis, opacis, & in niualibus: ea Memphis Arcadiæ ſcatet. Aluum ſiſtit radix in vino pota: vrinam mouet: vetuſtis vlceribus, ſicca efficaciter inſpargitur: ſanguinem ſupprimit: ægrè propter duritiam tunditur.

Hyacinthus. Cap. LXIII.

Hyacinthus folia habet bulbi: dodrantalem caulem, læuem, minimo digito tenuiorem, herbacei coloris: comam procumbentem, florum purpureorum plenam, incuruam: radicem quoque bulbaceam. Quæ, vt creditur, pueris cum vino albo illita, pubertatẽ coërcet, & non patitur erumpere: ſiſtit aluum pota & vrinam impellit, phalangiorumq́ue morſibus auxiliatur. Semen adſtringentius eſt, theriacis expetitũ: regium morbũ emendat, cum vino potum.

Pauauer erraticum.

Cap. LXIIII.

Papauer erraticum, quod rhœada vocant, vere quidem in aruis cum hordeo naſcitur, flore protinus deciduo, vnde & nomen apud Græcos accepit. Folia erucæ, aut origano, aut cichorio, aut thymo ſimilia ſpectantur, ſed lõgiora, diuiſa, ſcabra: iũceus ei caulis, rectus, cubitalis, aſper: flos ſyluestris anemones, puniceus, interdum albus: oblõgũ caput, ſed quàm anemones minus: ſemẽ rufum: radix longa, ſubalbida, minoris digiti craſſitudine, guſtu amara. Hnius capita quinq; aut ſex, in vini cyathis tribus ad dimidias decocta, potui dabis, quibus ſomnus accerſendus eſt. Semina acetabuli mẽſura ex aqua mulſa pota, aluum leniter emolliunt: ad idem præſtandũ mellitis placentulis. & dulciariis libis admiſcentur. Folia cũ calycibus illita, inflammationes ſanant: eorundem fotu & perfuſione, ſomnus allicitur.

Papauer ſatiuum.

Cap. LXV.

E ſatiui papaueris genere, quod hortenſe eſt, ſemen in panem denſatur, qui ſanis in vſu ſit: eo etiã ex melle pro ſeſama vtuntur:

Περὶ Μήκωνος ῥοιάς.

Κεφ. ξδ΄.

Μήκων ῥοιὰς, ὠνόμασται δὲ διὰ τὸ ταχέως τὸ ἄνθος ἀποβάλλειν, φύεται ἐν ἀρούραις ἔαρος, ὅτε καὶ συλλέγεται. ἔοικε δὲ τὰ φύλλα ὀριγάνῳ, ἢ εὐζώμῳ ἢ κιχωρείῳ ἢ θύμῳ ἐπεσχισμένα, μακρότερα δὲ καὶ τραχέα· καυλὸν δὲ ῥαβδώδη, ὄρθιον, τραχὺν ὡς πήχεως· ἄνθος φοινικοῦν, ἐνίοτε δὲ καὶ λευκὸν ὅμοιον τῷ τῆς ἀγρίας ἀνεμώνης. κεφαλὴ δὲ προμήκης, ἥττων μέν τι ἢ τῆς ἀνεμώνης· καρπὸς πυῤῥός· ῥίζα ἐπιμήκης, ὑπόλευκος, δακτύλου ἔχουσα μικροῦ πάχος, πικρά. Ταύτης τὰ κεφάλια πέντε ἢ ϛ΄. μετ' οἴνου κυάθων τριῶν ἑψήσας ὡς εἰς β΄. ἀγαγεῖν, πότιζε οὓς ἂν βούλει ὑπνῶσαι. τοῦ δὲ σπέρματος ποθὲν ὅσον ὀξύβαφον σὺν μελικράτῳ, κοιλίαν ἠπίως μαλάσσει· μίγνυται δὲ καὶ μελιτώμασι καὶ ἰτρίοις πρὸς τὸ αὐτό. τὰ δὲ φύλλα σὺν ταῖς κωδίαις καταπλασθέντα φλεγμονὰς ἰᾶται· καὶ τὸ ἄντλημα δὲ αὐτῶν ἀντληθὲν, ὑπνοποιόν ἐστι.

Περὶ Μήκωνος ἡμέρου.

Κεφ. ξε΄.

Μήκων ἡ μέν τις ἐστὶν ἥμερος, κηπευτὴ, ἧς τὸ σπέρμα ἀρτοποιεῖται εἰς τὴν ἐν ὑγείᾳ χρῆσιν καὶ σὺν μέλιτι δὲ ἀντὶ σησάμης αὐτῇ

χρῶνται. καλεῖται δὲ θυλακῖτις. ἐπιμήκης ἔχουσα τὸ κεφάλιον, καὶ τὸ σπέρμα λευκόν. Ἡ δέ τις ἀγρεία ἐγκαθημένην ἔχουσα τὴν κωδίαν, μέλαν σπέρμα· ὃ καὶ *πιθῖτις ὀνομάζεται· ὑπ' ἐνίων δὲ ῥοιὰς καὶ αὐτή, διὰ τὸ ῥεῖν ἐξ αὐτῆς τὸν ὀπόν. Τρίτη δὲ ἀγριωτέρα καὶ φαρμακωδεστέρα καὶ μακροτέρα τούτων, ἔχουσα τὴν κωδίαν ἐπιμήκη. Κοινὴ δὲ αὐτῶν δύναμις ψυκτική· ὅθεν τὰ φύλλα καὶ αἱ κωδίαι καθεψηθεῖσαι ἐν ὕδατι καὶ προσαντλούμεναι, ὑπνοποιοῦσι. πίνεται δὲ πρὸς ἀγρυπνίαν τὸ ἀφέψημα, καὶ εἰς τὰ καταπλάσματα δὲ λεῖαι αἱ κωδίαι μετὰ ἀλφίτων μιγνύμεναι, πρὸς φλεγμονὰς καὶ ἐρυσιπέλατα ἁρμόζουσι. δεῖ δὲ κόπτοντας αὐτὰς χλωρὰς ἀναπλάττειν εἰς τροχίσκους, καὶ ξηραίνοντας ἀποτίθεσθαι, καὶ οὕτω χρῆσθαι. καθ' ἑαυτὰς δὲ ἑψηθεῖσαι αἱ κωδίαι ἐν ὕδατι μέχρις ἡμίσεως, εἶτα σὺν μέλιτι πάλιν ἑψηθεῖσαι, ἄχρις ἂν συστραφῇ τὸ ὑγρὸν, ποιοῦσι φάρμακον ἐκλεικτόν. ἀνώδυνον πρὸς βῆχας καὶ ῥευματισμοὺς ἀρτηρίας καὶ κοιλιακὰς διαθέσεις. ἐνεργέστερον δὲ γίνεται μιγνύντων αὐτῷ ὑποκυστίδος χυλοῦ καὶ ἀκακίας. τὸ δὲ σπέρμα τῆς μελαίνης μήκωνος λεῖον σὺν οἴνῳ ποτίζεται πρὸς ῥεῦμα κοιλίας καὶ γυναικεῖον ῥοῦν,

καταπλάσ-

vtuntur: thylacitin vocant: Capitulum habet longum, & ſemen cādidum. Sylueſtre verò, caput inſidens, demiſſúmque, & nigrum ſemen, quod pithitis nominatur: nonnullis tamē & ipſum rhœas dicitur, quoniam eius ſcapolacteus ſuccus emanat. Tertium magis ſylueſtre, et ad medicinas valentius, multò his longius, productiore capitulo. Omnium in commune natura refrigeratrix: quare ſi capita ipſa, & folia decoquantur in aqua, ſomnum fotu conciliabunt. Bibitur decoctum contra vigilias. Calices cum polenta triti, & cataplaſmatis admiſti, ignibꝰ ſacris, & inflammationibus proſunt. Tunduntur quoque virides, & digeruntur in paſtillos, qui ſiccati ad vſum recōduntur. Capita quoque per ſe in aqua coquuntur ad dimidias, iterúmq; adiecto melle, dū humor coēat in eclegmatis lentorem. Id medicamentū in tuſsi, arteriæ fluxionibus, & cœliacorū affectu doloris leuamentum præbet. Efficacius tamē redditur, addito hypociſtidis ſucco et acacia. Papaueris nigri ſemē tritum cū vino bibitur, cōtra citā aluum, & fœminarum ꝓflu-

uia:

uńa:in peruigiliis fronti temporibúsque illinitur,ex aqua. Opium eius magis refrigerat,inſpiſſat,ſiccátque:ſumptum erui magnitudine,doloré finit, cōcoquit,& ſomnum allicit:tuſſi, atque cœliacorum valetudini auxiliatur : verùm ſi copioſius hauriatur,nocet, cum lethargicos efficiens interimat. Ad dolores capitis cum roſaceo perfuſum efficax eſt : auriū dolori,cum amygdalino,myrrha et croco inſtillatur:inflammationibus oculorum cum torrefacto oui luteo ꝓficit:igni ſacro & vulneribus,cum aceto: podagris, cum lacte mulieris & croco ſomnum accerſit, ſubditum ſedi pro balano: Optimum habetur graue, & denſum, guſtu amarum, odoratu ſoporiferum,quod facilè aqua diluitur, læue, candidū,neque aſperū, neq; grumoſum, quod inter colandum non vt cera coëat, & in ſole diffundatur: dein admotum lucernis, non atra luceat flamma:extinctum denique, odoris vim cōſeruet. Sed opion glaucio,gummi,aut ſylueſtris lactucæ ſucco, adulterant. Verum glaucio fucatum,in dilutione croci coloré reddit lactucaceo ſucco fictū,

exiliter

καταπλάσσεται δὲ ἐπὶ τῶν ἀγρυπνούντων μεθ' ὕδατος, κατὰ τοῦ μετώπου καὶ τῶν κροτάφων. ὁ δὲ ὀπὸς καὶ αὐτὸς ψύχων ἐπιπλέον καὶ παχύνων καὶ ξηραίνων· ληφθεὶς βραχὺς ὅσον ὄροβος, ἀνώδυνός ἐστι καὶ ὑπνοποιὸς καὶ πεπτικός· βοηθῶν βηξὶ καὶ κοιλιακαῖς διαθέσεσι· πλείων δὲ ποθεὶς βλάπτει, ποιῶν ληθαργικοὺς καὶ ἀναιρεῖ. ποιεῖ δὲ καὶ κεφαλαλγοῦσι σὺν ῥοδίνῳ ἐμβρεχόμενος· ὠταλγοῦσι δὲ σὺν ἀμυγδαλίνῳ καὶ κρόκῳ καὶ σμύρνῃ ἐγχεόμενος· ἐπὶ δὲ φλεγμοναῖς ὀφθαλμοῦ σὺν λεκύθῳ ὀπτῇ καὶ κρόκῳ· καὶ πρὸς ἐρυσιπέλατα δὲ καὶ τραύματα σὺν ὄξει· πρὸς δὲ ποδάγρας σὺν γάλακτι γυναικείῳ καὶ κρόκῳ· προστεθεὶς δὲ* δακτύλῳ ἀντὶ βαλάνου ὕπνον ποιεῖ. κράτιστος δέ ἐστιν ὀπὸς ὁ πυκνὸς καὶ βαρύς, ἐν δὲ τῇ ὀσμῇ καρωτικός, πικρὸς ἐν τῇ γεύσει, εὐχερῶς διϊμένος ὕδατι, λεῖος, λευκός, οὐ τραχύς, οὔτε θρομβώδης, οὔτε συστρεφόμενος ἐν τῷ διηθεῖσθαι ὡς κηρός, ἔν τε τῷ ἡλίῳ τεθεὶς, διαχεόμενος καὶ πρὸς λύχνον ἐξαπτόμενος οὐ ζοφώδει φλογί· φυλάσσων τε μετὰ τὸ σβεσθῆναι τὴν ἐν τῇ ὀσμῇ δύναμιν. δολοῦσι δὲ αὐτὸν γλαυκίον μιγνύντες ἢ κόμμι, ἢ χυλὸν ἀγρίας θρίδακος· ἔστι δὲ ὁ μὲν ἐκ τοῦ γλαυκίου κροκίζων ἐν τῇ ἀνέσει. ὁ δὲ ἐκ τῆς θρίδακος ἐξίτηλος τὴν ὀσμὴν καὶ βραχύτερος· ὁ δὲ ἐκ τοῦ κόμμεως ἄτονος καὶ διαυγής. ἔνιοι δὲ εἰς τοσοῦτον ἀνοίας παραγίνονται, ὡς καὶ στέαρ παραμιγνύναι αὐτῷ. φώγνυται δὲ εἰς τὰ ὀφθαλμικὰ ἐπ' ὀστράκου καινοῦ ἕως ἂν μαλακώτερος καὶ κιῤῥότερος φανῇ. Ἐρασίστρατος μέν τοι Διαγόραν φησὶν ἀποδοκιμάζειν αὐτοῦ τὴν χρῆσιν ἐπὶ τῶν ὠταλγικῶν, καὶ ὀφθαλμιώντων. διὰ τὸ ἀμβλυωπὲς εἶναι καὶ καρωτικόν. ἀνδρέας δέ φησιν. ὅτι εἰ μὴ ἐδολοῦτο, ἐτυφλοῦντο ἂν οἱ ἐγχριόμενοι ὑπ' αὐτοῦ. μνησίδημος δέ φησι μόνην αὐτοῦ χρῆσιν εἶναι τὴν κατ' ὄσφρησιν εἰς ὕπνον ἁρμόζουσαν, ἄλλως δὲ ἐπιβλαβῆ τυγχάνειν. ἅπερ ἐστὶ ψευδῆ ὑπὸ τῆς πείρας ἐλεγχόμενα· διὰ τὸ ἐπιμαρτυρεῖσθαι τοῖς ἔργοις τὴν ἐνέργειαν τοῦ φαρμάκου. οὐκ ἄτοπον δὲ ὑπογράψαι καὶ τὸν τρόπον ᾧ συλλέγουσι τὸν ὀπόν· ἔνιοι μὲν οὖν τὰς κωδίας μετὰ τῶν φύλλων κόπτοντες ἐκτρίβουσι διὰ πιεστῆρος, καὶ τρίβοντες ἐν θυίᾳ, ἀναπλάττουσι τροχίσκους· καλεῖται δὲ τὸ τοιοῦτον μηκώνειον ἀδρανέστερον τοῦ ὀποῦ. ὀπίζοντας δὲ δεῖ μετὰ τὸ τὰς δρόσους ἀνικμασθῆναι, περιγράφειν μαχαιρίῳ τὸν ἀστερίσκον, ὡς μὴ εἰς τὰ ἐντὸς διατρῆσαι, καὶ ἐκ πλαγίων δὲ τῆς κωδίας ἐπ' εὐθείας ἐκτέμνειν ἐξεπιπολῆς,

καὶ

exiliter ſpirat, & aſperius ſpectatur: gũmi vitiatum, ſplendeſcit, & infirmũ eſt. Nec deſunt qui eò demétiæ deuenerint, vt adipem ei admiſcerent. Fictili nouo torretur ad oculorũ medicaméta, dum mollius atque rufius appareat. Diagoras, vt Eraſiſtrat⁹ author eſt, vſũ eius damnauit, oculorũ lippitudinibus, & auriũ vitiis infundi vetans, quoniã viſus aciẽ hebetaret, et ſoporé gigneret. Addidit Andreas, illitos eo protin⁹ excæcari, ſi non adulteraretur. Mneſidemus vſum dũtaxat olfactandi probauit, quoniã ad conciliãdum ſomnũ conueniret, alioqui nobis vt noxio interdicit. Quæ cómentitia eſſe, experimento deprehendũtur: ſiquidé effectus, viriũ huiuſce medicaméti, fidé faciũt, quare non alienũ fuerit ſcriptis mãdare, quonã modo is excipiatur ſuccus. Aliqui capita ipſa et folia tundunt, & prælo exprimunt, terétesq; in mortario, digerũt in paſtillos: id meconiũ vocatur, multũ opio ignauius Porrò opij faciundi ratio hæc eſt: Cũ ros in eo exaruerit, cultro decuſſatim in ſtellas, ne penit⁹ adigaẽ, ex obliquo ĩ rectũ ſummã cuté incidere oportet, lachrymam exeuntem, digito in conchã abſtergere, nec multò pòſt redire, vt cõcreta inueniatur: etenim quæ tum, aut poſtero die etiã offenditur, in vetere pila teri debet, & in paſtillos cogi. Cùm tamẽ inciditur, retrocedendum eſt, ne veſtib⁹ ſuccus deradatur.

Corniculatum papauer. Cap. LXVI.

PAPAVER ceratites, id eſt, corniculatum, folia habet candida, hirſuta, verbaſco ſimilia in ambitu ſylueſtris papaueris more ſerrata : caule non diſsimili : flore pallido : calyculo fœnigræci, in corniculorum modum inflexo, vnde nomen mutuatur : ſemine papaueris, puſillo nigróque : radice per ſumma ceſpitum, nigra, craſſa : naſcitur in maritimis & aſperis. Radici ea vis ineſt, vt in aqua decocta ad dimidias, coxendicum & iocineris affectus, potu ſanet : prodeſt his qui craſſa quædam, aſpera, aut araneoſa cum lotio reddunt. Aluum leniter purgat ſemen, acetabulo in aqua mulſa poto. Cruſtas emarginant, illita ex oleo folia, floréſque, & argema

καὶ ἀποψᾶν τὸ δάκρυον ἐξερχόμενον δακτύλῳ εἰς μύακα· καὶ πάλιν ἐπιπορεύεσθαι μετ' οὐ πολύ· εὑρίσκεται γὰρ ἐπισυνεστὼς, καὶ τῇ ἐπιούσῃ δὲ οὕτως εὑρίσκεται, δεῖ δὲ ἐν θυΐᾳ* τρίβειν καὶ ἀποτίθεσθαι ἀναπλάσσοντας, ἐν μέντοι τῷ τέμνειν ὀπίσω ἀναχωρεῖν δεῖ πρὸς τὸ μὴ ἀποψᾶσθαι τῶν ἱματίων τὸν ὀπόν.

Περὶ Μήκωνος κερατίτιδος. Κεφ. ξς´.

Μήκων κερατῖτις, οἱ δὲ, παράλιον, οἱ δὲ, ἀγρίαν μήκωνα, οἱ δὲ, θαλάσσιον· φύλλα ἔχει λευκά, δασέα, ὅμοια φλόμῳ, πεπρισμένα τὴν περιφέρειαν, ὥσπερ τὰ τῆς ἀγρίας μήκωνος, καὶ τὸν καυλὸν ὅμοιον, ἄνθος ὠχρόν· καρπὸν δὲ μικρὸν, καμπύλον ὥσπερ κέρας, ὅμοιον τῷ τῆς τήλεως· ὅθεν καὶ ἐπωνόμασται· σπέρμα δὲ μικρὸν, μέλαν, ὅμοιον τῷ τῆς μήκωνος, ῥίζαν ἐξεπιπολῆς φυομένην, μέλαιναν, παχεῖαν· φύεται ἐν παραθαλασσίοις τόποις καὶ τραχέσι. Δύναμιν δὲ ἔχει ἡ μὲν ῥίζα ἑψηθεῖσα ἄχρις ἡμίσους ἐν ὕδατι καὶ ποθεῖσα, ἰσχιάδας καὶ ἡπατικὰς διαθέσεις θεραπεύειν· καὶ τοὺς παχέα ἢ ἀραχνώδη οὐροῦντας ὠφελεῖν. τὸ δὲ σπέρμα πλῆθος ὀξυβάφου ποθὲν σὺν μελικράτῳ, κοιλίαν ἐπιεικῶς καθαίρει· τὰ δὲ φύλλα καὶ τὰ ἄνθη ἐσχάρας περιῤῥήττει καταπλασθέντα σὺν ἐλαίῳ· ἐγχρισθέντα ἐγχριθέντα δὲ τὰ ἐπὶ κτηνῶν ἄργεμα καὶ νεφέλια ἀποκαθαίρει. ἔνιοι δὲ ἐπλανήθησαν νομίσαντες ἐκ ταύτης τὸ γλαύκιον γίνεσθαι διὰ τὴν τῶν φύλλων ἐμφέρειαν.

Περὶ Μήκωνος ἀφρώδους.
Κεφ. ξζ´.

Μήκων ἀφρώδης, ὑπὸ δέ τινων ἡράκλεια κληθεῖσα, καυλὸν ἔχει σπιθαμιαῖον, καὶ τὰ φύλλα σφόδρα μικρά, στρουθίῳ ἐοικότα, καὶ καρπὸν παρ᾽ αὐτοῖς λευκόν, καὶ τὸ ὅλον δὲ βοτάνιον λευκόν ἐστι καὶ ἀφρῶδες· ῥίζαν δὲ λεπτὴν ἐπιπλέον. Ταύτης ὁ καρπὸς συλλέγεται ὅταν τελείως ἁδρυνθῇ θέρεος, καὶ ξηρανθεὶς ἀποπέσῃ· καθαίρει δὲ δι᾽ ἐμέτων ὀξυβάφου πλῆθος σὺν μελικράτῳ λαμβανόμενος· ἰδίως δὲ ἡ τοιαύτη κάθαρσις ἐπιληπτικοῖς ἁρμόζει.

Περὶ Ὑπηκόου. Κεφ. ξη´.

Ὑπήκοον, οἱ δὲ, ὑπόφεων καλοῦσι· φύεται δὲ ἐν τῷ σίτῳ καὶ ταῖς ἀρούραις· φύλλον δὲ ἔχει πηγάνῳ ὅμοιον, κλῶνας μικρούς. Δύναμιν δὲ ἔχει ἀναλογοῦσαν τῷ τῆς μήκωνος ὀπῷ.

Περὶ Ὑοσκυάμου.
Κεφ. ξθ´.

Ὑοσκύαμος, θάμνος ἐστὶ καυλοὺς ἀνιεὶς παχεῖς, φύλλα πλατέα, ἐπιμήκη, ἐσχισμένα, μέλανα, δασέα, παρὰ δὲ τὸν καυλὸν ἐφεξῆς πεφύκασιν ἄνθη ὥσπερ ῥοιᾶς κύτινοι·

gema ac nubeculas iumentorum perunctas, abſtergũt. Sũt qui glauciũ, hoc papaueris genere factitari exiſtimarũt, falſi quadã foliorum cognatione.

Spumeum papauer.
Cap. LXVII.

Aliud papaueris genus, aphrodes, id eſt, ſpumeũ vocatur, ab aliis heracleum, caule dodrantali: foliis admodum paruis, radiculæ ſimilibus: fructu inter ea candido. Nam herbula alba eſt, & ſpumea tota: radice in ſũmo ceſpite. Legitur æſtate ſemen, cũ integrè adoleuit, deciditque exiccatum. Datum acetabuli menſura in aqua mulſa vomitione expurgat: priuatim huiuſmodi purgatio, comitialibus prodeſt.

Hypecoum. Cap. LXVIII.

Hypecoon, aliqui hypopheon vocant: naſcitur in ſegetibus aruíſque, foliis rutæ, exilibus ramis. Natura eadem, quæ papaueris ſucco.

Apollinaris, ſiue hyoſcyamus. Cap. LXIX.

Hyoſcyamus, frutex eſt caules emittens craſſos: folia lata, oblonga, diuiſa, nigra, hirſuta: flores è latere caulis, ordine ꝑdeunt, tãquam punicorũ cytini, ni, ſcutulis ſepti ſeminũ plenis, vt papaueris. Tres eius differẽtiæ: Vna ſemine nigro, floribus penè purpureis, ſmilacis foliis, cytinis præduris, & ſpinoſis. Alterius ſemen ſubflauũ, vt irionis: flores lutei: folia, & ſiliquæ ſimpliciores. Ambo inſaniã gignunt & ſoporem, ideo in cõmuni vſu dãnantur. Tertiũ genus, vt quod mitiſsimum eſſet, medici recepere: pingue, lanuginoſum, molle, candidi floris ſeminíſque, in maritimis ruderibúſque naſcens. Cuius occaſio ſi non adſit, rufum vſurpari oportet: niger, vt deterrimꝰ, improbatur. Recenti ſemine, caulibus, foliíſque tuſis, ſuccus in ſole exprimitur, & exiccato humore, vſus ad annum vſque prorogatur: nam facilè corruptionem ſentit. Extrahitur etiam ex ſicco ſemine ſeparatim in aqua calida tuſo, & expreſſo. Liquamentum autem ſucco lacteo præſtantius eſt, & magis dolores finit. Cõtuſa herba recẽs, addita trimeſtri farina, digeritur ĩ paſtillos, & reconditur. Liquamentum primum, & quod à ſicco ſemine exemptum eſt, collyrijs, quæ doloris ſenſum auferunt, commodiſsimè inſeri ſolent: contra

νοι, πεφραγμένοι ἀσπιδίσκοις, σπέρματος μεστοῖς, ὥσπερ μήκωνος. ἔστι δὲ αὐτοῦ διαφορὰ τρισσή. Ὁ μὲν γὰρ ἄνθη ὑποπόρφυρα φέρει, φύλλα σμίλακι ὅμοια, σπέρμα μέλαν, καὶ τοὺς κυτίνους σκληροὺς καὶ ἀκανθώδεις. Ὁ δέ τις ἄνθη μηλοειδῆ, φύλλα καὶ λοβοὺς ἁπλώτερα, σπέρμα ὑπόξανθον ὥσπερ ἐρύσιμον· ἀμφότεροι δὲ οὗτοι μανιώδεις ὑπάρχουσι καὶ καρωτικοί, δύσχρηστοι. Εὔχρηστος δὲ εἰς θεραπείαν ἠπιώτατος ὢν ὁ τρίτος λιπαρὸς καὶ ἁπαλὸς καὶ χνοώδης, ἄνθη λευκὰ ἔχων, καὶ τὸ σπέρμα λευκόν· φύεται παρὰ θαλάττῃ καὶ ἐρειπίοις. εἰ δὲ μὴ παρείη οὗτος, χρῆσθαι δεῖ τῷ ξανθῷ, τὸν δὲ μέλανα ἀποδοκιμάζειν ὡς χείριστον. Χυλίζεται δὲ ὁ καρπὸς ἁπαλὸς καὶ τὰ φύλλα καὶ οἱ καυλοὶ κοπτόμενοι καὶ ἐκθλιβόμενοι ἐν ἡλίῳ, ξηραινομένου τοῦ ὑγροῦ· χρῆσις δὲ αὐτοῦ πρὸς ἐνιαυτὸν διὰ τὸ εὔσηπτον. χυλίζεται δὲ καὶ τὸ σπέρμα αὐτοῦ κατ' ἰδίαν κοπτόμενον ξηρὸν, ὑφ' ὕδατος θερμοῦ παραχεομένου καὶ ἐκθλιβομένου. ἔστι δὲ βέλτιον τοῦ ὀποῦ τὸ χύλισμα, καὶ ἀνωδυνώτερον. ἡ δὲ χλωρὰ κοπεῖσα καὶ μιγεῖσα σιτανίῳ ἀλεύρῳ, ἀναπλάσσεται εἰς ἀρτίσκους καὶ ἀποτίθεται. ἁρμόζει δὲ τὸ πρῶτον χύλισμα καὶ τὸ ἀπὸ ξηροῦ τοῦ σπέρματος εἰς κολλύρια ἀνώδυνα, καὶ

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0474-8

να, καὶ πρὸς ῥεῦμα δριμὺ καὶ θερμόν· ὠταλγίαν τε καὶ τὰ περὶ ὑστέραν. σὺν ἀλεύρῳ δὲ ἢ ἀλφίτοις, πρός τε ὀφθαλμῶν φλεγμονὰς καὶ ποδῶν καὶ τὰς ἄλλας. τὸ δὲ σπέρμα τὰ αὐτὰ παρέχει. ποιοῦν καὶ πρὸς βῆχας καὶ κατάρρουν καὶ ῥεῦμα ὀφθαλμῶν καὶ περιωδυνίας, πρός τε ῥοῦν γυναικεῖον καὶ τὰς ἄλλας αἱμορραγίας, ὅσον ὀβολὸς σὺν μήκωνος σπέρματι καὶ μελικράτῳ ποθέν. ἁρμόζει καὶ πρὸς ποδάγρας, ὄρχεις πεφυσωμένοις, μαστοὺς ἐν τοκετῷ ἐπηρμένους, λεῖον μετ' οἴνου καταπλασσόμενον, καὶ εἰς τὰ ἄλλα ἀνώδυνα καταπλάσματα μίγνυται ὠφελίμως. καὶ τὰ ἀναπεπλασμένα φύλλα, εἰς πάντα τὰ ἀνώδυνα εὔχρηστα μιγνύμενα ἀλφίτοις, καὶ καθ' ἑαυτὰ καταπλασσόμενα. τὰ δὲ πρόσφατα φύλλα καταπλασθέντα, ἀνωδυνώτατα πρὸς πάντα πόνον. *τρία δὲ ἢ τέτταρα ποθέντα σὺν οἴνῳ, ἠπιάλους πυρετοὺς θεραπεύει· ἑψηθέντα δὲ ὡς λάχανα καὶ βρωθέντα τρυβλίου πλῆθος, μετρίαν παρακοπὴν ἐργάζεται. φασὶ δὲ ὅτι ἐάν τις ἕλκος ἔχοντα ἐν κώλῳ ἐγκλύσῃ τὸ αὐτὸ ἀπεργάζεται. ἡ δὲ ῥίζα μετ' ὄξους ἑψηθεῖσα, ὀδονταλγίας ἐστὶ διάκλυσμα.

Περὶ

contra acutas calidáſque fluxiones, dolores aurium, atque vuluæ mala, proſunt: cum farina autem aut polenta, oculorum, pedum, cæterarúmque partium inflammationes placant. Semen eadem præbet: tuſsi, deſtillationibus, oculorum fluxioni, & doloribus, efficax: contra menſium abundãtiam, & rumpentem aliunde ſanguinẽ, oboli pondere cum papaueris ſemine, & aqua mulſa, bibitur: podagris ſubuenit: teſtibus inflatis, mammíſque tumentibus à partu, tritum ex vino illinitur. Aliis quoque cataplaſmatis, quæ doloris leuamentum præſtant, admiſceri ſolet. Folia omnibus medicamentis dolorem ſedantibus, per ſeſe, & ex polenta, vtiliſsimè imponuntur: recentia, ad mitigandos omne genus dolores, oblinuntur: cum vino terna, quaternáve pota, ſanant algidas febres, quas epialos vocant. Cocta olerum modo folia, ſi acetabuli menſura mãduntur, mediocrem inſaniam gignunt: idem efficere tradũt, ſi, colo vlcus ſentiẽte, infundantur. Radice in aceto decocta, dentes in dolore colluũtur.

Pſyllium

Pſyllium. Cap. LXX.

Pſyllion foliis coronopo nõ diſsimilibus, hirſutis, longioribus: ſarmẽtoſa fœni modo, in totum herbula: ramis dodrantalib⁹: coma à medio caule exoritur, duob⁹ tribúſve cõuolutis in cacumine capitulis: ĩ his ſemine duro, nigro, pulicũ ſimili vnde & nomen: in aruis & incultis naſcit̃. Vis ei ad refrigerandũ, inſpiſſandũ, & molliendũ conueniens: articulorũ morbis, parotidibus, tuberculis, tumoribus, vulſis, illitũ auxiliatur: imponitur in dolore capitis, cũ roſaceo, aqua, aut aceto: enterocelis infantiũ, & prominẽti vmbilico, illitũ ex aceto, medet̃. Terit̃ acetabuli mẽſura, & ĩ aquæ ſextario madefactũ, vbi cõcreuit aqua, illinit̃: ſiquidẽ vehementer refrigerat, & in feruentẽ aquã deiectum calorẽ reprimit. Contra ignes ſacros efficax eſt. Fama eſt, ſi virens domũ importet̃, nõ ſinere in ea pulices gigni. Cũ adipe tuſũ, ſordida vlcera, & q̃ cacoëthe vocant̃, expurgat. Succus vermiculoſis aurib⁹, aut fluxiõe laborãtib⁹, ex melle, ꝓdeſt

Hortẽſe ſolanũ. Ca. LXXI.

HORTENSE ſolanum frutex cibis idoneus, puſillus, multis

tis

Περὶ Ψυλλίου. Κεφ. ο΄.

Ψύλλιον φύλλον ἔχει κορωνόποδι ὅμοιον, δασύ. *κλῶνας δὲ σπιθαμιαίους καὶ τὸ ὅλον βοτάνιον χορτῶδες· ἄρχεται δ' αὐτοῦ ἡ κόμη ἀπὸ μέσου τοῦ καυλοῦ, κεφάλια δὲ δύο ἢ τρία ἐπ' ἄκρου συνεσταλμένα· ἐν οἷς σπέρμα ψύλλοις ὅμοιον, μέλαν, σκληρόν· φύεται ἐν ἀρούραις καὶ χέρσοις.

Δύναμιν δὲ ἔχει *ψυκτικήν· ὠφελεῖ δὲ καταπλαττόμενον, ἀρθρίτιδα, παρωτίδας, φύματα, οἰδήματα, *στρέμματα, κεφαλαλγίαν, μετὰ ῥοδίνου ἢ ὄξους ἢ ὕδατος· ἐντεροκήλας τε τὰς ἐπὶ παίδων καὶ ἐξομφάλους ὑγιάζει καταπλασσόμενον σὺν ὄξει. δεῖ δὲ ὀξυβάφου πλῆθος λεαίνοντας βρέχειν ἐν δυσὶν ὕδατος δακτύλοις, καὶ ὅταν παγῇ τὸ ὕδωρ ἐπιπλάττειν· ψύχει γὰρ ἱκανῶς, καὶ εἰς ὕδωρ δὲ ζέον ἐπιτιθεμένη καταστέλλει τὴν θέρμην, ποιεῖ δὲ καὶ πρὸς ἐρυσιπέλατα. φασὶ δὲ ὅτι κομισθεῖσα ἐν οἴκῳ χλωρὰ, οὐκ ἐᾷ ψύλλας γενέσθαι. κοπεῖσα δὲ μετὰ στέατος, τὰ ῥυπαρὰ καὶ κακοήθη τῶν ἑλκῶν ἀνακαθαίρει. ὁ δὲ χυλὸς μετὰ μέλιτος πρὸς ὦτα ῥευματιζόμενα ποιεῖ καὶ σκώληκας ἔχοντα.

Περὶ Στρύχνου. Κεφ. οα΄.

Στρύχνος κηπαῖος ἐδώδιμος ἐστὶ θαμνίσκος, οὐ μέγας·

μασχάλας

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0476-0
DFG

μασχάλας ἔχων πολλάς· φύλλα μέλανα, ὠκίμου μείζονα καὶ πλατύτερα· καρπὸν περιφερῆ, χλωρὸν, μέλας δὲ ἢ κιῤῥὸς γίνεται μετὰ τὸ πεπανθῆναι· ἀβλαβὴς δὲ ἡ βοτάνη πρὸς γεῦσιν. Δύναμιν δὲ ἔχει ψυκτικήν· ὅθεν τὰ φύλλα καταπλασσόμενα, ἁρμόζει πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας μετὰ παιπάλης ἀλφίτου· καθ᾽ ἑαυτὰ δὲ ἐπιτιθέμενα λεῖα, αἰγίλωπα θεραπεύει καὶ κεφαλαλγίαν· καὶ στομάχῳ καυσουμένῳ βοηθεῖ· παρωτίδας δὲ διαφορεῖ σὺν ἁλσὶ λεῖα καταπλασσόμενα. καὶ ὁ χυλὸς δὲ αὐτοῦ ποιεῖ πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας, σὺν ψιμμυθίῳ καὶ ῥοδίνῳ καὶ λιθαργύρῳ· πρὸς αἰγίλωπα δὲ σὺν ἄρτῳ. ἁρμόζει καὶ σειριῶσι παιδίοις σὺν ῥοδίνῳ ἐμβρεχόμενος· μίγνυται δὲ καὶ κολλυρίοις ἀντὶ ὕδατος ἢ ὠοῦ τοῖς πρὸς ῥεύματα δριμέα· εἰς τὰς ἐγχείσεις ὠφελεῖ καὶ ὠταλγίαν ἐνσταγείς. ἴσχει δὲ καὶ ῥοῦν γυναικεῖον ἐν ἐρίῳ προστεθείς. ὁ δὲ χυλὸς ἀναγκαῖος ἐστὶ πρὸς αἰγίλωπας, συμμαλασσόμενος ἀφόδῳ πυῤῥῷ ὀρνίθων κατοικιδίων καὶ ῥάκει ἐπιτιθέμενος.

Περὶ στρύχνου ἁλικακάβου.

Κεφ. οβ΄.

Ἔστι καὶ ἕτερον στρύχνον, ὃ ἰδίως ἁλικάκαβον καλοῦσιν, οἱ δὲ φυσαλίδα.

tis concauus alis: folio nigro, maiore quàm ocimi, & latiore: fructu rotundo, viridi, qui poſt maturitatem nigricat, aut fulueſcit: herba innocentis guſtus. Natura ei refrigerandi: quare folia vlceribus quæ ſerpunt, & ignibus ſacris, conuenienter cum polline polentæ illinuntur: ægilopia, capitiſque dolores, trita & impoſita per ſe ſanant: æſtuanti ſtomacho auxiliantur: parotidas, cũ ſale detrita, illitu diſcutiunt. Valet ſuccus ei⁹ aduerſus ignẽ ſacrum, atque vlcera quæ ſerpunt, cum ceruſſa, roſaceo & argenti ſpuma: ad ægilopas cum pane: infantium aduſtioni, quam ſyriaſin vocant, cum roſaceo perfuſus proficit: in collyriis, aquæ vel oui vicem exhibet, contra acutas fluxiones illitus: aurium dolori inſtillatus prodeſt. Menſium abundantiã ſiſtit, in vellere ſubditus. Succus fuluo gallinarum cortalium fimo ſubactus, & linteo appoſitus, ægilopiis præſentaneo eſt remedio.

Solanum halicacabon.

Cap. LXXII.

Eſt & aliud ſolanũ, qđ peculiari nomine halicacabõ aut pſyſalida, id eſt veſicariam vocát, foliis antedicto ſimilibus, verũ latioribus: cuius caules, poſteaquàm adoleuerunt, prona terram ſpectant: folliculis orbiculatis veſiculis ſimilibus ſemine intus fuluo, rotundo, læui acinorum vuæ effigie: quo coronarij vtuntur, corollis intorquentes. Vim vſúmque hortéſis ſolam habet: verum cibis nequaquam expetitur. Regiũ morbum purgat, ſemine poto, & vrinam pellit. Ex vtraque herba ſuccus extrahitur, qui ſiccatus in vmbra, reconditur, ad eadem valens.

Solanum ſomniferum.
Cap. LXXIII.

SOLANVM ſomniferum, aliqui etiam halicacabon appellant, fruticat multis ramis, denſis, caudicoſis, fractu contumacibus, pinguium foliorum, cotoneæque mali ſimilium plenis: flore grandi, rubro: fructu in folliculis crocato: radice grandi, ſubrubro cortice veſtita: naſcitur in ſaxis, non procul à mari. Radicis cortex, in vino drachmę pondere potus, ſomnificã vim habet, opio mitiorem. Semen vehemẽter vrinã cit. Corymbi duodecim hydropicis dantur: ſi quid

λίδα φύλλοις ὅμοιον τῷ προειρημένῳ, πλατυτέροις μέν τοι· οἱ καυλοὶ δὲ αὐτοῦ μετὰ τὸ αὐξηθῆναι χαμαικλινεῖς γίνονται· καρπὸν δὲ ἔχει ἐν θυλακίοις περιφέρεσιν ὅμοιον φύσαις, πυῤῥὸν, περιφερῆ, λεῖον, ὡς ῥᾶγα σταφυλῆς, ᾧ καὶ οἱ στεφανοπλόκοι χρῶνται καταπλέκοντες τοὺς στεφάνους. Δύναμιν δὲ ἔχει καὶ χρῆσιν τὴν αὐτὴν τῷ κηπαίῳ στρύχνῳ· χωρὶς τοῦ βιβρώσκεσθαι. δύναται δὲ ὁ καρπὸς αὐτοῦ πινόμενος, ἴκτερον ἀποκαθαίρειν οὐρητικὸς ὤν· χυλίζεται δὲ ἀμφοτέρων ἡ πόα, καὶ ξηραίνεται ἐν σκιᾷ πρὸς ἀπόθεσιν, ποιεῖ δὲ πρὸς τὰ αὐτά.

Περὶ Στρύχνου ὑπνωτικοῦ.
Κεφ. ογ΄.

Στρύχνον ὑπνωτικὸν, οἱ δὲ, ἁλικάκαβον, θάμνος ἐστὶ κλάδους ἔχων πολλοὺς, πυκνοὺς στελεχώδεις, δυσθραύστους, φύλλων πλήρεις λιπαρῶν, ἐμφερῶν μήλῳ κυδωνίῳ· ἄνθος ἐρυθρὸν, εὐμέγεθες· καρπὸν ἐν λοβοῖς κροκίζοντα· ῥίζαν φλοιὸν ἔχουσαν ὑπέρυθρον, εὐμεγέθη· φύεται ἐν πετρώδεσι τόποις οὐ πόῤῥω θαλάσσης. Ταύτης ὁ φλοιὸς τῆς ῥίζης ἐν οἴνῳ ποθείς. < ὁλκὴ ὑπνωτικὴν ἔχει δύναμιν τοῦ ὀποῦ τῆς μήκωνος ἐπιεικεστέραν. ὁ δὲ καρπὸς οὐρητικός ἐστιν ἄγαν· δίδονται δὲ ὑδρωπικοῖς κόρυμβοι ὡς ιβ΄.

πλείονες δὲ ποθέντες, ἔκστασιν ἐργάζονται. βοηθοῦνται δὲ μελικράτῳ πολλῷ πινομένῳ. μίγνυται καὶ ἀνωδύνοις ὁ χυλὸς αὐτῆς καὶ τροχίσκοις· ἐναφεψηθεὶς δὲ οἴνῳ καὶ διακρατούμενος ὀδονταλγίαις ἀρήγει. ὁ δὲ χυλὸς τῆς ῥίζης ἀμβλυωπίας μετὰ μέλιτος ἐγχρισθεὶς παραιτεῖται.

Περὶ Στρύχνου μανικοῦ.

Κεφ. οδ΄.

Στρύχνον μανικὸν, ὃ ἔνιοι πέρσιον, οἱ δέ, θρύον ἐκάλεσαν. τούτου τὸ μὲν φύλλον παραπλήσιον ἐστὶν εὐζώμῳ, μεῖζον δὲ πρὸς τὰ τῆς ἀκάνθης, ἥ τις καὶ παιδέρως καλεῖται· καυλοὺς δὲ ἀνίησιν ἀπὸ τῆς ῥίζης ὑποφυεῖς δέκα ἢ ιβ΄. ὀργυιὰς ἔχοντας ὕψος· τὴν κεφαλὴν ἐπικειμένην ὥσπερ ἐλαίαν, δασυτέραν δὲ ὡς πλατάνου σφαῖραν μείζονα δὲ καὶ πλατυτέραν· ἄνθος μέλαν. μετὰ δὲ τοῦτο καρπὸν ἴσχει βοτρυοειδῆ, στρογγύλον, μέλανα*, ῥαγάδας ι ἢ ιβ΄. ὁμοίας κισσοῦ κορύμβοις, μαλακὰς ὥσπερ σταφυλή. ῥίζα δὲ ὕπεστι λευκή, παχεῖα, κοίλη ὡς πηχέως· φύεται ἐν ὀρεινοῖς χωρίοις καὶ προσηνέμοις καὶ πλατανῶσι. Δύναμιν δέ ἔχει ἡ ῥίζα πινομένη μετ᾽ οἴνου < α. πλῆθος, φαντασίας ἀποτελεῖν οὐκ ἀηδεῖς· δύο δὲ < ποθεῖσαι, ἐξιστάνουσιν ἄχρι τριῶν ἡμερῶν, δ΄. δὲ

ſi quid numero adiiciat, alienationẽ mentis faciunt. Remedio eſt aqua copioſa mulſa, potui data. Succus paſtillis inſeritur, & medicamẽtis quæ doloris leuamẽtũ præbẽt: decoctus in vino, ſi in ore cõtineat, dentium doloribus auxiliatur. Radicis ſuccus, cum melle illitus, oculorum hebetudines tollit.

Manicũ ſolanũ. Ca. LXXIIII.

Solanũ manicon, aliqui perſion, alij thryon appellauere. Huic foliũ erucæ ſimile, maius aliquãto, ſatis acantho, quẽ pæderota vocant, accedẽs: caules à radice proceros emittit decẽ aut duodecim, vlnæ altitudine adoleſcentes: caput in cacumine, oliuæ figura, ſed vt platani pilulæ hirſutius, verùm maius, latiúſque: florem nigrum: poſtquam eo exuitur, racemus exit rotundus, niger, denis aut duodenis acinis cõſtans, ſimilibus hederæ corymbis, vt vuæ mollibus: radice firmatur candida, craſſa, caua, cubitali: gignitur in montibus, vento perflatis, & platanetis. Radix drachmæ vnius pondere pota ex vino, facit ſpecies vanas, imaginéſque nõ iniucũdas obuerſari, ſed duplicat⁹ hic modus, ad treis vſq; dies mentis alienationẽ affert:

quadruplicatus,interimit. Remedio eſt aqua mulſa copioſiꝰ pota,& vomitione reiecta.

Dorycniũ. Cap. LXXV.

Dorycnion Crateuas halicacabon,aut caleã vocat ,frutex oreæ nuper prodeunti ſimilis: naſcitur in petris,non procul á mari,ramis cubito minoribus, foliis oleæ ſimilibus colore,minuſculis,firmioribꝰ,præter modum ſcabris:flore candido: ſiliquis ĩ cacumine, ceu ciceris, dẽſis,rotundis,quinis intus,aut ſenis ſeminibꝰ,exigui erui magnitudine,læuibꝰ,firmis, verſicoloribus: radix ad digiti craſſitudinẽ & cubiti longitudinẽ adoleſcit.Id ſomniferũ eſſe cõſtat.Copioſius hauſtũ mortem adfert. Nec defuere,qui dicerent, ſemẽ in amatoria expeti.

Mãdragoras. Cap. LXXVI.

Mãdragorã,aliqui antimalũ, alij circeam vocãt, quoniã videatur radix ad amatoria cõducere.Duo eiꝰ genera:niger, quæ fœmina exiſtimatur,thridacias appellatus,anguſtioribꝰ foliis,ac minoribꝰ quàm lactucæ,viroſis ac graueolentibus, in terra ſparſis : mala gerit ſorbis ſimilia, pallida, odorata, in quibus ſemen veluti pyrorum: radicibꝰ inhęret bene magnis, binis,

δ΄. δὲ ποθεῖσαι, καὶ ἀναιροῦσιν, ἀντιφάρμακον δὲ ἐστὶν αὐτοῦ μελίκρατον, πολὺ πινόμενον καὶ ἐξεμούμενον

Περὶ Δορυκνίου. Κεφ. οε΄.

Δορύκνιον κρατεύας ἁλικάκαβον ἢ καλέαν καλεῖ. θάμνος ὅμοιος ἐλαίᾳ ἀρτιφυεῖ· κλῶνας ἔχων ἐλάσσονας πήχεως· φύεται ἐν πέτραις, οὐ πόῤῥω θαλάσσης, φύλλα δὲ τῷ χρώματι ἐλαίᾳ παραπλήσια, μικρότερα δὲ καὶ στεῤῥότερα, καὶ τραχέα ἰσχυρῶς· ἄνθος λευκόν, ἐπ᾽ ἄκρου ἔχει πυκνὰ θυλάκια ὥσπερ ἐρεβίνθου. ἐν οἷς σπερμάτια στρογγύλα ε ἢ ς΄. ὅσον ὄροβοι μικροὶ, λεῖα, ἰσχυρὰ καὶ ποικίλα· ῥίζαν πάχος δακτύλου, μῆκος δὲ πήχεως· δοκεῖ δὲ καὶ τοῦτο ὑπνωτικὸν εἶναι πλεονασθὲν δὲ ἀναιρεῖν. φασὶ δέ τινες καὶ τὸ σπέρμα αὐτοῦ εἰς τὰ φίλτρα παραλαμβάνεσθαι.

Περὶ Μανδραγόρου. Κεφ. ος΄.

Μανδραγόρας, οἱ δὲ ἀντίμηλον, οἱ δὲ δίρκαιαν, οἱ δὲ κιρκαίαν καλοῦσιν, ἐπειδὴ δοκεῖ ἡ ῥίζα φίλτρων εἶναι ποιητική. ἔστι δὲ αὐτῆς ὁ μέν τις θῆλυς ὁ μέλας θριδακίας καλούμενος· φύλλα ἔχων στενότερα καὶ μικρότερα θριδακος, βρομώδη καὶ βαρέα κατὰ τὴν ὀσμὴν, κεχυμένα δὲ ἐπὶ γῆς καὶ παρ᾽ αὐτὰ μῆλα οὔοις ἐμφερῆ, ὠχρὰ, εὐώδη, ἐν οἷς καὶ καρπὸς ὥσπερ ἀπίου. ῥίζαι εὐμεγέθεις δύο.

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0480-1
DFG

δύο ἢ τρεῖς, ἀντεμπεπλεγμέναι ἀλλήλαις. μέλαιναι κατὰ τὴν ἐπιφάνειαν, ἔνδοθεν λευκαὶ καὶ παχύφλοιοι· καυλὸν δὲ οὐ φέρει. Τοῦ δὲ ἄρρενος καὶ λευκοῦ, ὃν ἔνιοι νώριον ἐκάλεσαν, φύλλα ἐστὶ μεγάλα, λευκὰ, πλατέα, λεῖα καθάπερ τεύτλου· τὰ δὲ, μῆλα διπλάσια, κροκίζοντα τῇ χροιᾷ, εὐώδη μετὰ βάρους τινός· ἃ καὶ ἐσθίοντες οἱ ποιμένες ποσῶς ὑποκαροῦνται· ῥίζα δὲ ὁμοία τῇ πρὸ αὐτῆς, μείζων δὲ καὶ λευκοτέρα· ἄκαυλος δὲ καὶ αὐτή. Χυλίζεται δὲ ὁ φλοιὸς τῆς ῥίζης χλωρὸς κοπεὶς καὶ ὑποτεθεὶς πιεστῆρι· δεήσει δὲ λεάναντας μετὰ τὸ συστραφῆναι ἀποτίθεσθαι ἐν ὀστρακίνῳ ἀγγείῳ. χυλίζεται δὲ καὶ τὰ μῆλα ὁμοίως, ἀνειμένον δὲ γίνεται τὸ ἐξ αὐτῶν χύλισμα. καὶ ὁ φλοιὸς δὲ τῆς ῥίζης περιαιρεθεὶς καὶ διαβληθεὶς λίνῳ, κρεμᾶται εἰς ἀπόθεσιν. ἔνιοι δὲ καθέψουσιν οἴνῳ τὰς ῥίζας ἄχρι τρίτου, καὶ διυλίσαντες ἀποτίθενται· χρώμενοι ἐπὶ τῶν ἀγρύπνων καὶ περιοδυνώντων κυάθῳ ἑνὶ, καὶ ἐφ᾽ ὧν βούλονται ἀναισθησίαν τεμνομένων ἢ καιομένων ποιῆσαι. ὁ δὲ ὀπὸς ποθεὶς ὀβολῶν δυοῖν πλῆθος ὁλκῆς, σὺν μελικράτῳ, ἄγει ἄνω φλέγμα καὶ μέλαιναν χολὴν ὡς ἐλλέβορος· πλείων δὲ ποθεὶς ἐξάγει τῆς ζωῆς, μίγνυται καὶ εἰς τὰς ὀφθαλμικὰς καὶ ἀνωδύνους δυνάμεις, καὶ πεσσοῖς μαλακτικοῖς.

binis, terniſve, inter ſe conuolutis, nigris foris, int⁹ albis, craſſo cortice veſtitis: caule viduus eſt. Alter candidus, qui mas dicitur, nonnullis norion vocitatus: huius folia magna, alba, lata, læuia vt betæ: mala quàm alterius duplo maiora, colore in crocum inclinante, iucundè cum grauitate quadam olentia: quorum pomorum cibo, aliquantum opiliones ſoporātur. radix, alterius ſimilis, maior & cādidior, orbata & hæc caule. Succus fit è cortice recētis radicis tuſo, & prelis ſubiecto: qui inſolatus vbi concreuerit, fictili reconditur. Malis quoq; ſuccus depromitur, ſed aliquanto ignauior. Delibratur radix, & traiectus lino cortex, ad vſum ſuſpenditur. Aliqui radices in vino ad tertias coquunt, & defœcatū ius ſeruant: cyatóque vno vtuntur, in peruigiliis, & doloribus, & ante ſectiones vſtionéſque ne ſentiantur. Succus duobus obolis ex mulſo potus, vt veratrum, per vomitiones bilem atram pituitámq; extrahit: verùm potu largiore, vita adimitur. medicamentis ocularibus, & his quę dolores finiunt, peſſis quoque emollientibus, admiſcetur: ſemioboli pōdere indit⁹, per ſe mēſes & part⁹ expellit: ſubdit⁹ ſedi ꝓ balano, ſomnificus eſt. Radix ebur emollire fertur, q̄ ſenis horis cū eo decocta ſit: & ad accipiēdam, quam effingere optaueris, formā, ipſū facile pręſtat. Folia recētia cōueniēter oculorū inflāmationib⁹, & collectionibus, quas vlcera citarūt, cū polenta illinunt̄: duritias omneis ſuppurationes, ſtrumas, & tubercula diſcutiūt: ſtigmata ſine exulceratiōe delēt, ſi q̄nis ſenisve dieb⁹, ſenſim perfricent̄. Folia ſeruant̄ in muriis, eoſdē ad vſus. Trita radix ignib⁹ ſacris ex aceto, & ſerpētium ictib⁹ ex melle aut oleo, medetur: ſtrumas atq; tubercula, cum aqua diſsipat: articulorū cruciatus, cū polēta ſedat. Fit citra coctionem vinū è cortice radicis, ad hunc modum: Ternæ minæ in vini dulcis metretam coniiciuntur. Dantur ex eo terni cyathi, iis q̄ ſecari aut amburi debent, vt antè dictū eſt: ſiquidem nullo tūc afficiūtur dolore, ſed veterno quodam preſsi, torpeſcunt. Mala ſoporē afferūt olfactu, & etiā ſi mandātur: item expreſſis ex eis ſuccus: nimio tamen odore percuſsi, obmuteſcunt.

Semen

καθ' ἑαυτὸν δὲ ὅσον ἢ μιώβολον προστεθεὶς, ἔμμηνα καὶ ἔμβρυα ἄγει, δακτυλίῳ τε ἀντὶ βαλάνου ἐπιτεθεὶς ὕπνον ποιεῖ. μαλάσσειν δὲ καὶ ἐλέφαντα λέγεται ἡ ῥίζα συνεψομένη αὐτῷ ἐπὶ ὥρας ϛ'. καὶ εὔπλαστον αὐτὸν εἰς ὃ ἂν τις βουληθῇ σχῆμα παρασκευάζει. τὰ δὲ φύλλα πρόσφατα ἁρμόζει πρός τε ὀφθαλμῶν φλεγμονὰς, καὶ τὰς ἐπὶ τῶν ἑλκῶν μετ' ἀλφίτου καταπλασσόμενα. διαφορεῖ δὲ καὶ πᾶσαν σκληρείαν καὶ ἀποστήματα, χοιράδας, φύματα παρατριβόμενά τε ἡσυχῇ ἐπὶ ἡμέρας ε' ἢ ϛ'. στίγματα ἄνευ τοῦ ἑλκοῦν ἀφανίζει. ταριχευθέντα δὲ τὰ φύλλα, ἀποτίθεται πρὸς τὰς αὐτὰς χρείας. ἡ δὲ ῥίζα σὺν ὄξει λεία, ἐρυσιπέλατα ἰᾶται· πρὸς δὲ ἑρπετῶν πληγὰς, σὺν μέλιτι ἢ ἐλαίῳ· σὺν ὕδατι δὲ χοιράδας καὶ φύματα διαχεῖ· καὶ ἄρθρων πόνους παύει μετὰ ἀλφίτων. σκευάζεται δὲ καὶ δίχα ἑψήσεως οἶνος ἐκ τοῦ φλοιοῦ τῆς ῥίζης. δεῖ δὲ ἐμβάλλειν μνᾶς γ'. εἰς μετρητὴν οἴνου γλυκέος, διδόναι τε ἐξ αὐτοῦ κυάθους γ'. τοῖς μέλλουσι τέμνεσθαι ἢ καίεσθαι ὡς προείρηται, οὐ γὰρ ἀντιλαμβάνονται τοῦ ἀλγήματος διὰ τὸ καταφέρεσθαι. τὰ δὲ μῆλα ὀσφραινόμενα καὶ ἐσθιόμενα καρωτικά· καὶ ὁ ἐξ αὐτῶν χυλός. πλεονασθέντα δὲ καὶ ἀφώνους ποιεῖ.

τὸ δὲ

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0482-2
DFG

τὸ δὲ σπέρμα τῶν μήλων ποθὲν, ὑστέραν καθαίρει· προστεθὲν δὲ μετ' ἀπύρου θείου ῥοῦν ἵστησιν ἐρυθρόν· ὀπίζεται δὲ περιχαραττομένης τῆς ῥίζης πολυειδῶς, καὶ τοῦ συῤῥέοντος εἰς τὴν κοιλότητα συλλεγομένου. ἔστι δὲ ἐνεργέστερος τοῦ ὀποῦ ὁ χυλός· οὐκ ἐν παντὶ δὲ τόπῳ φέρουσιν ὀπὸν αἱ ῥίζαι, ὑποδείκνυσι δὲ τὸ τοιοῦτον ἡ πεῖρα. Ἱστοροῦσι δὲ καὶ ἑτέραν μώριον λεγομένην, φυομένην ἐν παλισκίοις καὶ περὶ τὰ ἄντρα· φύλλα ἔχουσαν ὅμοια τῷ λευκῷ μανδραγόρᾳ. μικρότερα δὲ ὡς σπιθαμιαῖα, λευκά, κύκλῳ περὶ τὴν ῥίζαν, οὖσαν ἁπαλὴν καὶ λευκὴν, μικρῷ μείζονα σπιθαμῆς πάχος δακτύλου μεγάλου. ἣν φασὶ πινομένην ὅσον < α΄. ἢ μετὰ ἀλφίτων ἐσθιομένην ἐν μάζῃ ἢ ὄψῳ, ἀπομωροῦν. καθεύδει γὰρ ὁ ἄνθρωπος ἐν ᾧ περ ἂν φάγοι σχήματι, αἰσθανόμενος οὐδενὸς ἐπὶ ὥρας γ΄. ἢ δ΄. ἀφ' οὗ περ ἂν προσενέγκηται. χρῶνται δὲ καὶ ταύτῃ οἱ ἰατροὶ ὅταν τέμνειν ἢ καίειν μέλλωσι. φασὶ δὲ καὶ ἀντίδοτον εἶναι τὴν ῥίζαν πινομένην μετὰ στρύχνου τοῦ καλουμένου μανικοῦ.

Περὶ Ἀκονίτου. Κεφ. οζ΄.

Ἀκόνιτον, οἱ δὲ, παρδαλιαγχές, οἱ δὲ, κάμμορον, οἱ δὲ, θηλύφονον, οἱ δὲ, μυοκτόνον* θηρεφόνον.

Semen malorum potum vuluas purgat: appoſitúmq; cum ſulphure ignem non experto, rubra fœminarum profluuia ſiſtit. Scarificata punctisq́; multifariam aperta radice, erumpens lachryma, cauo vaſe recipitur. Liquamentum autem ſucco lacteo præſtãtius eſt: ſed non vbique, vt experientia docet, radices lacteum ſuccũ delachrymant. Alium tradũt eſſe mãdragorã, nomine morion, in opacis iuxta ſpec⁹ enatum: folijs albi mandragoræ, minoribus, albis, dodrantalibus, radicem ambiẽtib⁹: quæ mollis eſt & cãdida, paulò maior palmo, pollicéq́; craſsitudine æquat. Tradũt eam in pane, offa, obſonióve, drachmæ põdere deuoratam, vſum rationis intercipere. Obdormiſcit enim homo, eo ferè quo comederit habitu, ſenſus impos, ternis quaternísve, ex quo data eſt, horis. Hac medici vtũtur, cũ ſcindẽdi vrẽdiq́; neceſsitas adeſt. Antidotũ eſſe volunt radicẽ, cum manico ſolano potam.

Aconitum. Cap. LXXVII.

ACONITVM, aliqui pardalianches, alij cammoron, alij theliphonon, alij myoctonon, alij theriophonon vocãt:

folia habet cyclamini, aut cucumeris, tria aut quatuor, minora & ſubhirſuta: caulem palmo altũ: radix ſcorpij caudam emulatur, & alabaſtri modo ſplendet. Torpeſcunt, vt fama eſt, ſcorpiones admota radice, ſtupétq; qui rurſum hellebori cõtactu excitantur. Oculorum medicamentis leuandi doloris gratia adiicitur: Enecat pantheras, ſues, lupos & feras omneis in carnibus obiectum.

Aconitũ alterũ. Ca. LXXVIII.

Eſt & alterũ aconitũ, qđ aliꝗ cynoctonon, alij lycoctonon appellãt. Huius genera ſũt tria: vnũ, quo vtũtur venatores: alia duo in vſum ſuũ vertêre medici. è quib⁹ tertiũ qđ Pôticũ nominat̃, plurimũ in Italia, mõtibus Iuſtinis exilit, à priore diſtãs, qm̃ folia faciat effigie platani, crebriore diuiſura, lõgiora, & multò nigriora: caulẽ ficilis pediculo ſimilẽ, nudũ, cubitali altitudine, aut ampliorẽ: ſemẽ in ſiliq̃s oblõgis recõdit: radices in modũ ſquillæ marinæ cirrorũ nigreſcũt. Quib⁹ ad venationem luporũ vtũtur, inſertæ ſiquidẽ crudis carnibus, & deuoratæ, lupos enecant.

Cicuta. Cap. LXXIX.

Cicuta caulẽ ædit geniculatũ,

vt

φύλλα ἔχει τρία ἢ τέσσαρα, ὅμοια κυκλαμίνῳ ἢ συκίῳ, μικρότερα δὲ καὶ ὑποτράχεα· καυλὸς ἢ σπιθαμῆς· ῥίζα ὁμοία σκορπίου οὐρᾷ, στίλβουσα ἀλαβαστροειδῶς. Τούτου τὴν ῥίζαν φασὶ προσαχθεῖσαν σκορπίῳ, παραλύειν αὐτόν· διεγείρεσθαι δὲ πάλιν ἐλλεβόρου προστεθέντος. μίγνυται δὲ καὶ ὀφθαλμικαῖς ἀνωδύνοις δυνάμεσι. κτείνει δὲ καὶ παρδάλεις καὶ σῦς καὶ λύκοις καὶ πᾶν θηρείον κρεαδίοις ἐντιθέμενον καὶ παραβαλλόμενον.

Περὶ Ἑτέρου ἀκονίτου.

Κεφ. οή.

ΑΚΟΝΙΤΟΝ ἕτερον, ὃ ἔνιοι κυνοκτόνον, οἱ δὲ λυκοκτόνον καλοῦσι. γίνεται μὲν πλεῖστον ἐν ἰταλίᾳ, ἐν τοῖς καλουμένοις* ἰουστίνοις ὄρεσι διαφέρον τοῦ πρὸ αὐτοῦ· φύλλα δὲ ἔχει ὅμοια τοῖς τοῦ πλατάνου, μᾶλλον δὲ ἐπεσχισμένα καὶ μακρότερα, πολλῷ καὶ μελαίντερα· καυλὸν δὲ καθάπερ πτέριδος, μόσχον ψιλὸν, ὕψος πήχεως, ἢ καὶ μείζονα· καρπὸν δὲ ἐν λοβοῖς ἐπιμήκεσι ποσῶς· ῥίζας ὥσπερ πλεκτάνας καρίδων μελαίνας· αἷς χρῶνται πρὸς τὰς τῶν λύκων θήρας, ἐντιθέντες κρέασιν ὠμοῖς. βρωθεῖσαι γὰρ ὑπὸ τῶν λύκων, ἀναιροῦσιν αὐτούς.

Περὶ Κωνείου. Κεφ. οθ'.

Κώνειον καυλὸν ἀνίησι γονατώδη

ὡς

Universitäts- und Landesbibliothek Düsseldorf urn:nbn:de:hbz:061:2-194136-p0484-4 DFG

ὡς μάραθρον, μέγαν, φύλλα δὲ νάρθηκι ἐμφερῆ, στενώτερα δὲ καὶ βαρύοσμα· ἐπ' ἄκρων δὲ ἀποφύσεις καὶ σκιάδια· ἄνθος ὑπόλευκον· σπέρμα ἐμφερὲς ἀνίσῳ, λευκότερον· ῥίζα κοίλη καὶ οὐ βαθεῖα. Ἐστι δὲ καὶ αὐτὸ τῶν φθαρτικῶν, κατὰ ψύξιν ἀναιροῦν. βοηθεῖται δὲ ἀκράτῳ. χυλίζονται δὲ τὰ ἄκρα πρὸ τοῦ ξηρανθῆναι τὸ σπέρμα, ἢ ἡ κόμη, καὶ ἐκθλίβεται κοπτομένη, καὶ συστρέφεται ἐν ἡλίῳ. ἔστι δὲ πολύχρηστον εἰς τὴν ὑγιαστικὴν χρῆσιν ξηρανθέν· μιγνύμενον ἐπιτηδείως τοῖς ἀνωδύνοις κολλυρίοις τὸ χύλισμα· ἕρπητάς τε καὶ ἐρυσιπέλατα καταπλασθὲν σβέννυσιν. ἡ δὲ πόα καὶ ἡ κόμη λεία καταπλαττομένη τῶν διδύμων, ὀνειρώττουσι βοηθεῖ· παρίησι δὲ καὶ αἰδοῖα καταπλασθέντα. καὶ γάλα σβέννυσι, μαστούς τε ἐν παρθενίᾳ κωλύει αὔξεσθαι, καὶ διδύμοις ἀτρόφους ποιεῖ ἐπὶ παιδίων. ἐνεργέστατον δέ ἐστι τὸ κρητικὸν καὶ μεγαρικὸν καὶ τὸ ἀττικὸν, καὶ τὸ ἐν τῇ χίῳ καὶ κιλικίᾳ γινόμενον.

Περὶ Σμίλακος.

Κεφ. π΄.

Σμίλαξ, οἱ δὲ, θύμαλον, ῥωμαῖοι δὲ τάξον καλοῦσι, δένδρον ἐστὶ παραπλήσιον ἐλάτῃ τοῖς φύλλοις καὶ μεγέθει, ἐν ἰταλίᾳ καὶ ἐν ναρβωνίᾳ τῇ κατὰ τὴν ἱσπανίαν φυόμενον.

τὸ

vt fœniculi grādē,folia ferulæ, anguſtiora,graui odoratu: rami,mox vmbellę in ſummo ꝓdeūt: flores quoq; albicātes:& ſemē aniſo cādidius:radice nō alta,cōcaua. Cicutæ letale venenū ineſt,ſuáq; vi refrigeratoria necat.Remedio eſt vini meraculi potus. Succ⁹ exprimitur cōtuſis cacuminibus, priuſquā ſemina & comę ſiccescāt,q̃ ſole dēſatur in paſtillos.Mult⁹ ad medendi rationē vſus eſt aridi: cōmodè miſcet̃ collyriis, q̃ leuādi doloris gratia tēperātur: ignes ſacros,& vlcera quæ ſerpūt, illitu reſtinguit. Herba cū coma trita,& teſtib⁹ circūlita, libidinū imaginationes in ſomno,cōpeſcit:ſed genitale reſoluit. lac puerperarū māmis appoſita extinguit: in virginitate māmas coërcet, & increſcere nō patit̃:pueris pręſtat,vt eorū teſticuli cibū nō ſentiētes,intabeſcāt. Efficaciſsima vis Creticæ,Megarēſi,mox Atticæ,& in Chio & Cilicia naſcenti.

Taxum. Cap. LXXX.

SMILAX à Græcis, taxus à Latinis appellatur, arbor abietis magnitudine, & foliorum eiuſdem figura, in Italia & Narbonenſi Gallia Hiſpanię contermina naſcens.

Auicu-

Universitäts- und Landesbibliothek Düsseldorf urn:nbn:de:hbz:061:2-194136-p0485-0 DFG

Auiculæ quæ Italicæ taxi baccas deuorant, denigrantur: & qui ederint eaſdē homines, alui profluuio corripiūtur. Narbonæ tam præſentis eſt veneni, vt ſi qui dormiāt ſub ea, aut eius vmbra ſubſideant, lædantur, & ſæpenumero moriantur: quare de taxo hæc traduntur, vt ab ea caueamus.

Apocynum. Cap. LXXXI.

Apocynon, ſiue cynocrābe, braſsica canina, frutex eſt longis viticulis cōſtans, malè olētibus, lētis, vitiliumq́; modo obſequioſis, fractu ferè inuictis: folio hederę, molliore tamē, & per extremū acutiore, lēto, graui odore: id luteo ſucco turget. Siliquæ, ceu fabarū, folliculari ſpecie, digiti longitudine protenduntur: ſemine intus albo, duro, paruo. Folia cum adipe in panes coacta, canes, lupos, vulpes, & pantheras enecant, in cibo data, & protinus eorum coxendices reſoluunt.

Neriū, ſeu rhododendrū.
Cap. LXXXII.

Nerion aliqui rhododaphnen, alij rhododendron vocāt, frutex eſt vulgaris notitiæ, longioribus quàm amygdala foliis, craſsioribúſque. flore in roſam conformato: fructu nuci

græcæ

τοῦ δὲ ἐν ἰταλίᾳ γινομένου τὸν καρπὸν ὀρνίθια ἐσθίοντα, μελαίνεται· οἱ δὲ προσενεγκάμενοι, διαῤῥοίαις περιπίπτουσι. τὸ δ' ἐν τῇ ναρβωνίᾳ, τοσαύτης δυνάμεως μετέχει, ὡς καὶ ἐκ τῆς σκιᾶς τοὺς ὑποκαθίσαντας ἢ κοιμηθέντας βλάπτεσθαι, πολλάκις δὲ καὶ θνήσκειν. ἱστορεῖται δὲ περὶ αὐτῆς χάριν τοῦ προφυλάττεσθαι.

Περὶ Ἀποκύνου. Κεφ. πά.

Ἀπόκυνον, οἱ δὲ, κύναγχον, οἱ δὲ, παρδαλιαγχὲς, * οἱ δὲ κυνόμορον, οἱ δὲ κυνοκράμβην καλοῦσι, ἔρνος ἐστὶ ῥάβδοις ἔχων μακρὰς, λυγώδεις, δυσραύστοις, φύλλα κιττῷ ὅμοια, μαλακώτερα δὲ καὶ ὀξύτερα κατ' ἄκρον, βαρύοσμα, ὑπόγλισχρα, ὀποῦ μεστὰ μηλίνου· καρπὸς δὲ ὡσεὶ λοβὸς κυάμων περὶ δακτύλου τὸ μῆκος, θυλακώδης· ἐφ' ὧν σπερμάτια, σκληρὰ, σμικρὰ, μέλανα. ταύτης τὰ φύλλα σὺν στέατι ἀρτοποιηθέντα καὶ παραβληθέντα, κτείνει κύνας, λύκους, ἀλώπεκας, παρδάλεις· παραχρῆμα δὲ παραλύει αὐτῶν τὰ ἰσχία.

Περὶ Νηρείου.
Κεφ. πβ'.

Νήρειον, οἱ δὲ, ῥοδοδάφνη, οἱ δ', ῥοδόδενδρον, θάμνος γνώριμος, ἀμυγδαλῆς μακρότερα καὶ παχύτερα ἔχων φύλλα. τὸ δὲ ἄνθος ῥοδοειδές· καρπὸν δὲ ἐμφερῆ ἀμυγδάλῳ,

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0486-6
DFG

μυγδάλῳ, ὡς κέρατι ἀνεῳγμένον, πλήρη ἐριώδους φύσεως, ὅμοιον τοῖς ὑακινθίνοις πάπποις· ῥίζα δὲ ἄποξυς καὶ μακρὰ, ξυλώδης, γευσαμένῳ ἁλμυρά. φύεται ἐν παραδείσοις καὶ παραθαλασσίοις τόποις καὶ παρὰ ποταμοῖς Δύναμιν δὲ ἔχει τὸ ἄνθος καὶ τὰ φύλλα, κυνῶν μὲν καὶ ὄνων καὶ ἡμιόνων καὶ τῶν πλείστων τετραπόδων δὲ ζώων φθαρτικήν· ἀνθρώπων δὲ σωστικὴν σὺν οἴνῳ πινόμενα πρὸς δήγματα θηρίων· καὶ μᾶλλον εἰ πηγάνῳ παραμίξειας· τὰ δὲ ἀσθενέστερα τῶν ζώων ὡς αἶγες καὶ πρόβατα, ἐπὰν τὸ ἀπόβρεγμα αὐτῶν πίῃ, ἀποθνήσκει.

Περὶ μυκήτων.

Κεφ. πγ΄.

Μυκήτων διαφορὰ διττή· ἢ γὰρ βρώσιμοι εἰσὶν, ἢ φθαρτικοί. παρὰ πολλαῖς δὲ αἰτίαις γίνονται τοιοῦτοι, ἢ γὰρ ἥλοις κατιωμένοις, ἢ ῥάκεσι σεσηπόσιν, ἢ ἑρπετῶν φωλεοῖς παραφύονται, ἢ δένδρεσιν ἰδίως βλαπτικοὺς φέρουσι τοὺς καρπούς· ἔχουσι δὲ καὶ γλοιώδη οἱ τοιοῦτοι ἐπίπαγον· κατατεθέντες δὲ μετὰ τὸ ἀφαιρεθῆναι, ταχέως διαφθείρονται σηπόμενοι. οἱ δὲ* μὴ τοιοῦτοι ζωμοποιοὶ, ἡδεῖς· πλεονασθέντες μέντοι καὶ οὗτοι βλάπτουσι δυσπεπτούμενοι, πνίγοντες ἢ χολέραν ἐπάγοντες.

βοη-

græcæ ſimili, corniculato, qui patefactus quandam lanoſam naturam oſtendit, ſpinarum pappos repræſentantem, radice longa, acuta, lignoſa, guſtanti ſalſa: naſcitur in amœnis, maritimis, & ſecus amnes. Flores & folia mulis, canibus, aſinis, & quadrupedum plurimis venena ſunt: hominibus verò contra ſerpentium morſus præſidia, è vino pota: eo magis ruta addita: imbecillæ etiam animantes, vt pecus & capræ, ſi aquam bibant, in qua folia ea maduerint, moriũtur.

Fungi. Cap. LXXXIII.

Fungorũ differentia duplex: aut enim mãduntur, aut perniciales ſunt. Multis de cauſis venenoſi gignũtur, vbi videlicet clauus ferreꝰ, in quo ſit rubigo, aut pãni marcor adfuerit, aut ſi iuxta ſerpẽtis cauernã, arboréſve, quę priuatim pariũt noxios fructus, erumpãt. Continẽt qui tales ſunt, neſcio quod ſtrigmẽtũ concretámq; pituitã, terráque eruti, quamcelerrimè cõputreſcunt, atq; marcore vitiãtur. Sed qui veneno imbuti nõ ſunt, ſuauẽ in iuribus gratiã habẽt: largius tamẽ ſumpti nocẽt, & ægrius concocti ſtrangulãt, aut choleram morbum citant.

Remedio eſt nitri potꝰ, aut lixiuiũ cũ acida muria, aut ferueſactę ſatureiæ, aut origani iuſculũ: debellãtur etiã gallinacei fimi potu ex aceto, aut eiuſdem delinctu cũ melle multo. Corpus alunt, ſed ægrè diſſoluũtur: cũ magna ex parte integri ipſi, cum recremẽtis alui reiiciãtur:

Colchicũ. Cap. LXXXIIII.

Colchicon, aliqui ephemeron, ſunt qui agreſtẽ bulbũ vocant, autumni exitu florẽ ædit croci, candicantem, ab eo tempore, folia bulbi, ſed pinguiora: caulẽ palmo altum, ferẽtem rufum ſemen: radicem foris è nigra rufeſcẽtem, quæ delibrata, cãdida & mollis ſpectatur, lacteo ſucco madet, atque guſtatu dulcis inuenitur: bulbus eius mediam habet rimam, fiſſurámque, qua flos erũpit: plurimum in Meſſenia, & Colchis enaſcitur. Ea comeſa, fungorum more, ſtrangulando enecat. Hanc autem depinximus, ne à quoquã imprudenter pro bulbo deuoretur: mirum enim in modũ ſaporis voluptate imperitos allicit. Remedio ſunt eadem quæ fungis: bubulum etiam lac potũ auxiliatur. itaque cum adfuerit, nõ aliud deſideratur auxilium.

Ephe-

βοηθοῦνται δὲ πάντες ποτιζόμενοι νίτρῳ ἢ κονίᾳ, μετὰ ὀξάλμης, ἢ θύμβρας ἀποζέματι, ἢ ὀριγάνῳ, ἢ ὀρνιθείῳ κόπρῳ μετ᾿ ὄξους πινόμενοι, ἢ μέλιτι ἐκλειχόμενοι πολλῷ. τρόφιμοι δὲ εἰσὶ καὶ δυσδιάλυτοι· ὁλοσχερεῖς δὲ ὡς ἐπιτοπολὺ σὺν τοῖς περιττώμασιν ἀποδίδονται.

Περὶ Κολχικοῦ. Κεφ. πδʹ.

Κολχικὸν, οἱ δὲ, ἐφήμερον, οἱ δὲ βολβὸν ἄγριον, λήγοντος τοῦ φθινοπώρου ἀνίησιν ἄνθος ὑπόλευκον, ὅμοιον κρόκου ἄνθει· ὕστερον δὲ τὰ φύλλα φέρει βολβῷ παραπλήσια, λιπαρώτερα· καυλὸν σπιθαμιαῖον, καρπὸν ἔχοντα πυῤῥόν· ῥίζαν φλοιὸν ἔχουσαν* ἐγκιῤῥον ἐν τῷ μέλανι, ἥ τις λεπιζομένη λευκὴ καὶ ἁπαλὴ καὶ ὀποῦ μεστὴ εὑρίσκεται καὶ γλυκεῖα· ἔχει δὲ ὁ βολβὸς διάφυσιν μέσην καθ᾿ ἣν τὸ ἄνθος ἀφίησι· γίνεται δὲ πλεῖστον ἐν τῇ μεσσηνίᾳ καὶ κόλχις. βρωθεῖσα δὲ κτείνει κατὰ τὸν πνιγμὸν ὁμοίως μύκησιν. Ἀνεγράψαμεν δὲ αὐτὴν ἵνα μὴ λάθῃ βρωθεῖσα ἀντὶ βολβοῦ· παραδόξως γάρ ἐστιν ἐπακτικὴ διὰ τὴν ἡδονὴν τοῖς ἀπείροις. βοηθεῖ δὲ τοῖς φαγοῦσιν ὅσα καὶ τοῖς μύκητας φαγοῦσι. καὶ γάλα βόειον πινόμενον· ὥς τε ὅταν παρῇ τοῦτο, μηδενὸς ἄλλου δεῖσθαι βοηθήματος.

Περὶ Εφη-

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0488-8
DFG

Περὶ Ἐφημέρου. Κεφ. πέ.

Ἐφήμερον, οἱ δέ, ἶριν ἀγρίαν, φύλλα καὶ καυλὸν ὅμοια ἔχει κρίνῳ, λεπτότερα δὲ ἄνθη λευκὰ, πικρά· καρπὸν δὲ μαλακόν· ῥίζα δὲ ὕπεστι δακτύλου πάχος μία, * μακρὰ, στυπτικὴ, εὐώδης· φύεται ἐν δρυμοῖς καὶ παλισκίοις. Τούτου ἡ μὲν ῥίζα ὀδονταλγίας ἐστὶ φάρμακον διακλυζομένη. τὰ δὲ φύλλα ἐν οἴνῳ ἑψηθέντα καὶ καταπλασθέντα οἰδήματα καὶ φύματα διαφορεῖ, μήπω ὑγρὸν ἔχοντα.

Περὶ Ἑλξίνης. Κεφ. πϛ΄.

Ἑλξίνη, οἱ δέ, παρθένιον, οἱ δὲ, σιδηρεῖτιν, οἱ δὲ, ὑεράκλειαν, οἱ δὲ, ἀσυρείαν, οἱ δὲ, ὑπογύλω ἀγρίαν, οἱ δὲ, κλιβάδιον, οἱ δὲ, πολυώνυμον καλοῦσι· φύεται ἐπὶ θριγγοῖς καὶ τοίχοις· καυλία δὲ ἔχει λεπτὰ ὑπέρυθρα· φύλλα ὅμοια λινοζώστει, δασέα· περὶ δὲ τοὺς καυλοὺς οἱονεὶ σπερμάτια τραχέα, ἀντιλαμβανόμενα τῶν ἱματίων. Δύναμιν δὲ ἔχει τὰ φύλλα ψυκτικὴν, στυπτικήν· ὅθεν καταπλασσόμενα ἰᾶται ἐρυσιπέλατα, κονδυλώματα, κατακαύματα, φύγεθλα ἀρχόμενα, καὶ πᾶσαν φλεγμονὴν καὶ οἰδήματα· ὁ δὲ χυλὸς αὐτῆς μιγεὶς ψιμμυθίῳ, ἐρυσιπέλατα καὶ ἕρπητας ὠφελεῖ καταχριόμενος, καὶ ποδάγρας σὺν κηρωτῇ κυπρίᾳ ἀναληφθεὶς ἢ τραγείῳ στέατι, ὠφελεῖ καὶ βήττοντας χρονίως ὁ χυλὸς καταῤῥοφούμενος ὅσον κύαθος,

καὶ

Ephemerũ. Cap. LXXXV·

Ephemeron, aliqui ſylueſtré irin appellant, folia habet lilij, ſed tenuiora: caulem parem: florem candidum, amarum: ſemen molle: radicem vnam, digitali craſsitudine, longam, adſtringentem, odoratam: naſcitur in ſyluis & opacis. Huius radix dentibus præcipua, ſi decocto colluátur. Folia in vino cocta, diſcutiũt tumores, & tubercula, quæ nihil adhuc humidi contraxerunt.

Helxine, id eſt, muralis herba. Cap. LXXXVI.

Helxine naſcitur in parietinis, ſepibus, vineis & ſegetibus: folia ei mercurialis inſunt, hirſuta: cauliculi ſubrubentes, & circa eos veluti ſemina aſpera, adhærentia veſtibus. Folia refrigandi ſpiſſandíque naturam habent, qua ex cauſa ſanant illitu ſacros ignes, aduſta condylomata, panos incipientes, tumores, inflammationéſque. Succus eius cum ceruſſa, ignibus ſacris, & vlceribus quæ ſerpunt, commodè illinitur, imponitúrque podagris cum hircino adipe aut cerato cyprino: veterem tuſsim emendat inſtar cyathi hauſtus:

tonſil-

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0489-6
DFG

tonſillis inflammationẽ ſentiẽtibus vtiliter & gargarizatur, & oblinitur: auriũ dolorem cum roſaceo inſtillatus leuat.

Alcine. Cap. LXXXVII.

Alſinen, aliqui anthillion, nõnulli myos ota vocant, quoniã muſculorũ aures folia imitantur. Lucis opacíſq; gaudet, vnde alſine dicta eſt. Hęc erat eadẽ quæ helxine, niſi humilior eſſet, & foliis minorib⁹, nec hirſuta. cũ teritur odorẽ cucumis reddit. Vim refrigerãdi, aſtringẽdíq; obtinet: oculorũ inflammationibus cũ polẽta illinitur. Succus auriũ doloribus infunditur: quin & emẽdat oĩa quæ helxine, id eſt, muralis herba.

Lens paluſtris.
Cap. LXXXVIII.

Lens paluſtris, inuenitur in aqua non fluente, muſcus lenticulæ ſimilis, refrigeratoriæ naturæ. Propter quod conuenienter collectionibus, igni ſacro, & podagris, illinitur per ſe, & cum polenta: glutinat, & procidentia puerorum interanea.

Semperuiuum magnũ, ſeu ſedũ. Cap. LXXXIX.

Semperuiuũ magnũ ideo nominatur, quoniã perpetuò folia vireant: cuius caules cubiti alti-

ϗ παρισθμίοις φλεγμαίνουσιν ἀναγαργάρισμα ϗ διάχρισμα ὠφέλιμόν ἐστι· καὶ ὠταλγίαν σὺν ῥοδίνῳ ἐγχεόμενον ὠφελεῖ.

Περὶ Ἀλσίνης. Κεφ. πζʹ.

Ἀλσίνη, οἱ δὲ, μυὸς ὦτα, ἀπὸ τοῦ ἔχειν φύλλα ὅμοια μυὸς ὠτίοις. ἀλπίνη δὲ, διὰ τὸ σκιεροὺς ϗ ἀλσώδεις φιλεῖν τόπους.. πόα ἐστὶν ὁμοία ἑλξίνῃ, ταπεινοτέρα δὲ καὶ μακροφυλλοτέρα καὶ οὐ δασεῖα. διατριφθεῖσά τε, σικύων ὄζει. Δύναμιν δὲ ἔχει ψυκτικὴν. στυπτικὴν· ἁρμόζουσαν πρὸς φλεγμονὰς ὀφθαλμῶν, μετὰ ἀλφίτων καταπλασσομένη καὶ πρὸς ὤτων πόνον ὁ χυλὸς αὐτῆς ἐνσταζόμενος. καὶ καθόλου δύναται τὰ αὐτὰ τῇ ἑλξίνῃ.

Περὶ φακοῦ τοῦ ἐπὶ τῶν τελμάτων. Κεφ. πηʹ.

Φακὸς ὁ ἐπὶ τῶν τελμάτων, εὑρίσκεται ἐπὶ τῶν στασίμων ὑδάτων, βρύον ὂν ὅμοιον φακῷ, ψύχων τῇ δυνάμει. πάσαις φλεγμοναῖς ϗ ἐρυσιπέλασι ϗ ποδάγραις ἁρμόζει καταπλασσόμενος, καθ᾽ ἑαυτόν τε ϗ σὺν ἀλφίτῳ· παρακολλᾷ δὲ καὶ ἐντεροκήλας τὰς ἐπὶ παίδων.

Περὶ Ἀειζώου τοῦ μεγάλου.
Κεφ. πθʹ.

Ἀείζωον τὸ μέγα ὠνόμασται διὰ τὸ ἀειθαλὲς τῶν φύλλων· καυλοὺς δ᾽ ἀνίησι πηχυαίους, ἢ ϗ μείζο-

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0490-9

μείζονας, πάχος δακτύλου μεγάλου, λιπαρούς, εὐθαλεῖς, ἐντομὰς ἔχοντας ὥσπερ τοῦ χαρακίου τιθυμάλλου· φύλλα λιπαρὰ, μέγεθος δακτύλου μεγάλου, * γλωσσοειδῆ κατὰ τὸ ἄκρον, καὶ τὰ μὲν κατωτέρω τῶν φύλλων ὑπτιούμενα, τὰ δὲ κατὰ τὴν κεφαλὴν περιεσταλμένα ἐπ' ἄλληλα, κύκλον ὀφθαλμοειδῆ περιγράφοντα· φύεται δὲ ἐν τόποις ὀρεινοῖς καὶ ὀστρακίνοις. ἔνιοι δὲ φυτεύουσιν αὐτὸ ἐπὶ τῶν οἰκημάτων. Δύναμιν δὲ ἔχει ψυκτικὴν, στύφουσαν, ποιοῦσαν πρὸς ἐρισιπέλατα, ἕρπητας, νομὰς, ὀφθαλμῶν φλεγμονὰς, πυρίκαυτα, ποδάγρας, καταπλαττόμενα τὰ φύλλα καθ' ἑαυτὰ καὶ μετὰ ἀλφίτων. ὁ δὲ χυλὸς πρὸς κεφαλαλγίας μετὰ ἀλφίτου καὶ ῥοδίνου ἐμβρέχεται· καὶ φαλαγγιοδήκτοις ἐν ποτῷ δίδοται, καὶ διαῤῥοιζομένοις, καὶ δυσεντερικοῖς, στρογγύλας τε ἕλμινθας ἐκτινάσσει σὺν οἴνῳ ποθείς· ἵστησι καὶ ῥοῦν γυναικεῖον ἐν προσθέτῳ. ἐγχεῖται δὲ ὁ χυλὸς καὶ ἐπὶ τῶν ὀφθαλμιώντων ὠφελίμως ἀπὸ αἵματος.

Περὶ Ἀειζώου τοῦ μικροῦ.

Κεφ. ϛʹ.

Ἀείζωον τὸ μικρὸν φύεται ἐν τοίχοις καὶ πέτραις, καὶ θριγγοῖς καὶ τάφεσις ὑποσκίοις, καυλία ἀπὸ μιᾶς ῥίζης πολλὰ, λεπτὰ, περι-

altitudinem implent, interdum excedunt, pingues, craſsitudine pollicari, virentes, characiæ tithymali modo inſecti: folia pinguia, carnoſa, magnitudine pollicari, in cacumine linguæ ſimilia alia in terram conuexa, alia in capite ſtantia inuicem, ita vt ambitu effigiem imitentur oculi: naſcitur in montibus, & teſtaceis: ſupra domicilia etiam ſeritur. Eius vis refrigerare, & adſtringere: medentur igni ſacro, nomis, vlceribus quæ ſerpunt, oculorum inflammationibus, ambuſtis igni, podagris per ſe, & cum polenta illita folia. Succus capiti, in doloribus, cum polenta aut roſaceo perfunditur: datur in potu contra phalangiorum ictus, dyſenteriam, aluique profluuia: teretes tineas potus in vino excutit: ſubditus in vellere, mulierum abundantiam ſiſtit: ſuccus oculorum lippitudinibus, ſanguinis vitio conceptis: inungitur.

Semperuiuum paruum.

Cap. XC.

Semperuiuũ paruũ in petris, parietinis, & maceriis, nec non ſcrobibꝰ opacis naſcit̃, caulibus ab vna radice multis, tenuibus, crebro foliatis: exilibus foliis, rotundis, pinguibus, mucronatis: caule à medio emicante, palmum alto vmbellam herbidóſque flores, & tenues gerente. Folia eiſdem cum priore viribus prædita ſunt.

Semperuiuum tertium.

Cap. XCI.

Tertium videtur ſemperuiui genus, quã aliqui andrachnen agriam, aut telephion vocauerunt, Romani illecebram, puſillis, craſsioribúſq; foliis, hirſutis, portulacæ proximis: naſcitur in ſaxis. Vis ei excalfactoria, acris, exulcerans: illita cum axungia ſtrumas diſcutit.

Vmbilicus Veneris.

Cap. XCII.

Cotyledon, ſiue vmbilicus Veneris, folio eſt in acetabuli formam tornato, ineuidenter concauo, breui in medio cauliculo, in quo ſemen ineſt: radice oliuæ modo rotunda. Succus cum vino circumlitus, inſtillatúſve, contecta genitalia nudat: inflammationibus, ſacris ignibus, ſtrumis, pernionibus, illitu auxiliatur: ſtomachi ardorem refrigerat. Folia cum radice comeſa, calculos frangunt, vrinam cient, hydropi-

περίπλεα φυλλαρίων περιφερῶν· λιπαρῶν, μικρῶν, ὀξέων ἐπ' ἄκρου· ἀνίησι δὲ ϗ καυλὸν ἐν μέσῳ περὶ σπιθαμὴν τὸ μέγεθος, ἔχοντα σκιάδιον ϗ ἄνθη λεπτὰ ϗ χλωρά. τούτου τὰ φύλλα δύναμιν ἔχει τὴν αὐτὴν τῷ προειρημένῳ.

Περὶ Ἀειζώου ἑτέρου.

Κεφ. ϛά.

Δοκεῖ δὲ εἶναι ϗ τρίτον εἶδος ἀειζώου, ὃ ἔνιοι ἀνδράχνην ἀγρίαν ἢ τηλέφιον ἐκάλεσαν, ῥωμαῖοι δὲ ἰλλέκεβραν· ἔχει δὲ αὐτὴ παχύτερα τὰ φυλλάρια πρὸς τὰ τῆς ἀνδράχνης καὶ δασέα. φύεται ἐν πέτραις. Δύναμιν δὲ ἔχει θερμαντικὴν, δριμεῖαν, ἑλκωτικήν· χοιράδων διαφορητικὴν σὺν ὀξυγγίῳ καταπλασθέν.

Περὶ Κοτυληδόνος. Κεφ. ϛβ΄.

Κοτυληδὼν, οἱ δὲ, σκυτάλιον, οἱ δὲ, κυμβάλιον, φύλλον ἔχει ὥσπερ ὀξύβαφον, περιφερὲς, λεληθότως κοῖλον· καυλίον δὲ ἐν μέσῳ βραχὺ, ἐν ᾧ τὸ σπέρμα· ῥίζαν ὡς ἐλαίαν στρογγύλην.

Ταύτης καὶ τῶν φύλλων ὁ χυλὸς μετ' οἴνου περιχριόμενος, ἢ ἐγκλυζόμενος, φύμοις τοῖς ἐν αἰδοίοις χαλᾷ· φλεγμονάς τε ϗ ἐρισιπέλατα ϗ χιμέτλας ϗ χοιράδας καταπλαττομένη ὠφελεῖ, καὶ στόμαχον καυσούμενον. ἐσθιόμενα δὲ τὰ φύλλα σὺν τῇ ῥίζῃ λίθους θρύπτει, ϗ οὖρα κινεῖ· ϗ ὑδρωκαὶ ὑδρωπικοῖς σὺν οἰνομέλιτι δίδοται. χρῶνται δὲ αὐτῇ καὶ εἰς τὰ φίλτρα.

Περὶ Ἑτέρας κοτυληδόνος.

Κεφ. ϛγʹ.

Ἔστι δὲ καὶ ἕτερον εἶδος κοτυληδόνος, πλατύτερα ἔχον καὶ λιπαρὰ φύλλα ὡς γλωττάρια, πυκνὰ περὶ τὴν ῥίζαν, οἱονεὶ ὀφθαλμὸν ἕνα μέσον περιγράφοντα ὥσπερ τὸ μεῖζον ἀείζωον, τῇ γεύσει στύφοντα· καυλίον λεπτὸν, καὶ ἐπ' αὐτῷ ἄνθη καὶ σπέρματα ὅμοια ὑπερικῷ· ῥίζαν δὲ μείζονα. ποιεῖ δὲ πρὸς ἃ καὶ τὸ ἀείζωον.

Περὶ Ἀκαλήφης. Κεφ. ϛδʹ.

Ἀκαλήφη, οἱ δὲ, κνίδη, διττὸν, εἶδος ἐστὶν αὐτῆς, ἡ μὲν, γάρ ἐστιν ἀγριωτέρα, τραχυτέρα καὶ πλατυτέρα καὶ μελαντέρα τοῖς φύλλοις· καρπὸν δὲ ὅμοιον λινοσπέρμῳ ἔχει, πλὴν ἐλάττονα. Ἡ δὲ ἑτέρα λεπτόσπερμός ἐστι καὶ οὐχ ὁμοίως τραχεῖα. Ἀμφοτέρων δὲ τὰ φύλλα καταπλασσόμενα μετὰ ἁλῶν, κυνόδηκτα ἰᾶται καὶ γαγγραινικὰ, καὶ τὰ κακοήθη καὶ καρκινώδη, καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν καὶ στρέμματα, φύματα, παρωτίδας, φύγεθλα, ἀποστήματα· σπληνικοῖς δὲ μετὰ κηρωτῆς ἐπιτίθενται· ποιεῖ δὲ καὶ πρὸς τὰς ἐκ μυκτήρων αἱμορραγίας τὰ φύλλα σὺν τῷ χυλῷ λεῖα ἐντιθέμενα· κινεῖ δὲ καὶ ἔμμηνα, λεῖα μετὰ σμύρνης ἐπιτιθέμενα, καὶ ὑστέρας προπτώσεις ἀποκαθίστησι νεαρὰ τὰ φύλλα προσαπτόμενα.

dropicis ex melle dantur. Herba vtuntur ad amatoria.

Vmbilicus Veneris alter.

Cap. XCIII.

Eſt & alterum genus eiuſdē, cymbalion aliqui vocant, pinguibus foliis, latioribus, ligularum modo denſis circa radicē, medium oculi ambitum deſcribētibus, vt in maiore ſemperuiuo, adſtringentis guſtus: cauliculo tenui, in quo flores & ſemina hyperici: radice maiuſcula. Facit eadem, quæ ſemperuiuum.

Vrtica. Cap. XCIIII.

Duo vrticæ genera: ſylueſtris, aſperior, latioribus, nigrioribusque foliis: ſemine lini, ſed minore. Altera non æquè aſpera, minuto ſemine. Folia vtriuſque illita, canis morſibus, addito ſale medentur: gangrænas, carcinomata, ſordida vlcera, & quæ cacoëthe vocantur, item luxata, panos, tubercula, parotidas, ſuppurationéſque ſanant· lienoſis cum cerato imponuntur: faciunt ad profluuia narium, cum ſucco trita, & naribus indita: menſes ciunt, eadem detrita cum myrrha, & impoſita procidentes vuluas, recentia contactu reſilire cogūt.

Semen potum ex paſſo, venerem ſtimulat, vuluæ ora patefacit: cum melle delinctum, orthopnœæ, lateris & pulmonum inflammationibus prodeſt: thoracem expurgat: erodentibus medicamentis admiſcetur. Cocta cum conchis folia, aluum emolliunt, vrinas mouent, inflationes diſcutiũt: decocta cum ptiſana, vitia pectoris extrahunt: mulierũ menſes euocant, cum myrrhæ modico pota. Inflammatione turgentẽ vuam, gargarizatus ſuccus exprimit.

Galiopſis. Cap. XCV.

Galiopſis, frutex in totum caulem, & folia habet vrticæ, læuiora, & quæ grauem odorem trita reddant: flore purpuraſcente, tenui: naſcitur circa ſepes, ædificiorum areas, ac ſemitas vbique. Folia, caules, ſemen, ſuccúſque, duritias & carcinomata diſſipãt: ſtrumas, panos, & parotidas diſcutiunt. Oportet bis die tepidum ex aceto cataplaſma imponere, & eius decocto fouere: ad putreſcentia, gangrænas, & nomas cum ſale efficaciter illinuntur.

τὸ δὲ σπέρμα ἐπὶ συνουσίαν παρορμᾷ πινόμενον μετὰ γλυκέος, καὶ ὑστέραν ἀναστομοῖ· σὺν μέλιτι δὲ ἐκλειχόμενον ὀρθοπνοίας ὠφελεῖ καὶ πλευρίτιδας καὶ περιπνευμονίας. ἀνάγει δὲ καὶ τὰ ἐκ θώρακος· μίγνυται δὲ καὶ σηπταῖς. συνεψηθέντα δὲ τὰ φύλλα κογχαρίοις τὰς κοιλίας μαλάττει· λύει ἐμπνευματώσεις. οὖρα κινεῖ. σὺν πτισσάνῃ δὲ ἑψηθέντα τὰ ἐκ θώρακος ἀνάγει. τὸ δὲ ἀφέψημα τῶν φύλλων σὺν ὀλίγῃ σμύρνῃ ποθὲν, κινεῖ καταμήνια. ὁ δὲ χυλὸς ἀναγαργαριζόμενος, στέλλει κιονίδα φλεγμαίνουσαν.

Περὶ Γαλιόψεως. Κεφ. ϛέ.

Γαλίοψις, οἱ δὲ, γαλεόβδολον, ὅλον τὸ θαμνίον σὺν τῷ καυλῷ καὶ τοῖς φύλλοις ἐμφερὲς ἐστι κνίδῃ, λειότερα δὲ τὰ φύλλα καὶ ἱκανῶς δυσώδη ἐν τῷ διατρῖψαι· ἄνθη λεπτὰ πορφυρίζοντα· φύεται ἐν φραγμοῖς καὶ παρὰ τὰς ὁδοὺς καὶ οἰκόπεδα πανταχοῦ. Δύναμιν δὲ ἔχει τὰ φύλλα καὶ ὁ χυλὸς καὶ ὁ καυλὸς καὶ ὁ καρπὸς, διαχυτικὴν σκληρωμάτων καὶ καρκινωμάτων, χοιράδων, παρωτίδων, φυγέθλων· δεῖ δὲ μετ' ὄξους τῆς ἡμέρας καταπλάσσειν χλιαρὸν ποιοῦντας τὸ κατάπλασμα. καὶ τὸ ἀφέψημα δὲ αὐτοῦ καταντλεῖται ὠφελίμως· ποιεῖ καὶ πρὸς νομάς. γαγγραίνας καὶ σηπεδόνας μεθ' ἁλῶν καταπλασσόμενα.

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0494-3
DFG

Περὶ Γαλλίου. Κεφ. ϛϛʹ.

Γάλλιον, οἱ δὲ, γαλλέειον, οἱ δὲ, γαλάτιον· ὠνόμασται δὲ ἀπὸ τοῦ γάλα πηγνύειν ἀντὶ πιτύας αὐτό· τὸ δὲ κλωνίον, καὶ τὸ φύλλον ἔχει ἐμφερέστατον ἀπαρίνῃ, καὶ ὀρθὸν δὲ καὶ ἐπ᾽ ἄκρου ἄνθος μήλινον, λεπτὸν, πυκνὸν, πολὺ εὔοσμον· Οὗ τὸ ἄνθος πρὸς τὰ πυρίκαυτα καταπλάσσεται, καὶ αἱμοῤῥαγίας ἵστησι· μίγνυται δὲ καὶ κηρωτῇ ῥοδίνῃ ἡλιαζόμενον ἄχρις ἂν λευκὸν γένηται· καὶ ἔστι τὸ τοιοῦτον ἄκοπον. ἡ δὲ ῥίζα πρὸς συνουσίαν παρορμᾷ. φύεται δὲ ἐν ἑλώδεσι τόποις.

Περὶ Ηριγέροντος. Κεφ. ϛζʹ.

Ηριγέρων καυλίον ἐστὶ πηχυαῖον, ὑπέρυθρον, συνεχῆ ἔχον φυλλάρια, ἀκροσχιδῆ ὥσπερ εὔζωμον, παρὰ πολὺ δὲ ἐλάττονα· ἄνθη μηλίζοντα, ταχέως σχιζόμενα καὶ ἐξανθοῦντα εἰς τοὺς λεγομένους πάππους. ὅθεν καὶ ἠριγέρων ὠνομάσθη, διὰ τὸ ἔαρος τὰ ἄνθη τριχοειδῶς πολιοῦσθαι. ῥίζα ἄχρηστος· φύεται μάλιστα ἐπὶ θριγγοῖς καὶ περὶ τὰς πόλεις. Δύναμιν δὲ ἔχει ψυκτικὴν τὰ φύλλα σὺν τοῖς ἄνθεσιν· ὅθεν καταπλασσόμενα τὰ φύλλα ἐν ὀλίγῳ οἴνῳ ἢ καὶ καθ᾽ ἑαυτὰ φλεγμονὰς ὄρχεων καὶ δακτυλίου θεραπεύει· σὺν δὲ μάννῃ, τά τε ἄλλα τραύματα καὶ τὰ ἐν νεύροις ἰᾶται· καὶ οἱ

Galion. Cap. XCVI.

Galion, nomen ex eo traxit, quòd in contrahendo lacte, coaguli vicem impleat: ramulum foliúmque habet aparinæ ſimillimum, rectum: florem in cacumine luteum, tenuem, denſum, copioſum, odoratum. Flos igni ambuſtis illinitur, ſanguinis profluuia ſiſtit. Cerato roſaceo galion admiſcetur, inſolatum vſque dum albeſcat: laſsitudines reficit. Radix venerem concitat. *Naſcitur in paluſtribus.*

Senecio. Cap. XCVII.

Senecio cauliculo eſt cubitali, ſubrubro, foliis continuis, erucæ modo per extremitates diuiſis, ſed minoribus multò: luteis floribus, qui celeriter diſſecti vaneſcunt in pappos. Nomen verò ſibi vendicauit, quoniam flores capillorum ritu, vere caneſcant. radice ſuperuacua: naſcitur maximè in maceriis, & circum oppida. Folia cum floribus refrigerant: quare illita cum vini modico, vel per ſeſe, teſtium & ſedis inflammationes ſanant: quin & ex manna thuris medentur, cũ reliquis vulneribus, tum iis quæ nerui acceperunt.

Illiti per ſe cum aceto pappi, idem munus præſtant: verùm recentes epoti, ſtrangulant. Totus caulis, ſi coctus in paſſo potui detur, ſtomachi dolores à bili contractos, perſanat.

Thalictrũ. Cap. XCVIII.

Thalictron folia coriãdri habet, pinguiora paulò: coliculum rutæ craſſitudine, in quo folia. Quæ trita, illitu antiqua vlcera ad cicatricem perducunt. Naſcitur maximè in campeſtribus.

Marinus muſcus.
Cap. XCIX.

Marinus muſcus naſcitur in ſcopulis, teſtaceiſq; haud procul à mari, gracilis, capillaceus, caulis expers. Præcipua ei ſpiſſandi vis, & collectiones cohibendi, & podagras, quas refrigerare opus ſit.

Phycus marinus. Cap. C.

Phyci marini generib⁹, quoddam latum, & alterum ſublongius, & rubens: tertiũ candidũ, naſcens in Creta iuxta terram, floridũ valdè, quod nulla corruptionis labe polluit. Omnia vim habẽt refrigeratoriam, nõ podagræ modò, ſed etiã inflãmationib⁹, in cataplaſmatis efficaciter vtilẽ: verũ iis vti humidis cõuenit, priuſquã exareſcãt.

Nican-

καὶ οἱ πάπποι δὲ, καθ' ἑαυτοὺς καταπλασθέντες ἐν ὄξει τὸ αὐτὸ δρῶσι· ποθέντες μέν τοι νεαροὶ, πνιγμὸν ἐπιφέρουσιν. ὅλος δὲ ὁ καυλὸς σὺν ὕδατι ἑψηθεὶς καὶ σὺν γλεύκει πινόμενος, στομάχου πόνους τοὺς ἀπὸ χολῆς θεραπεύει.*

Περὶ Θαλίκτρου. Κεφ. ϛη΄.

Θάλικτρον φύλλα παραπλήσια κορίῳ ἔχει, λιπαρώτερα δὲ, καὶ καυλίον πηγανίου πάχος. ἐφ' οὗ τὰ φύλλα ἅπερ καταπλασθέντα λεῖα, τὰ χρόνια τῶν ἑλκῶν ἐπουλοῖ. φύεται δὲ μάλιστα ἐν πεδίοις.

Περὶ Βρύου θαλασσίου.
Κεφ. ϛθ΄.

Βρύον θαλάσσιον φύεται ἐπὶ λίθων καὶ ὀστράκων παρὰ θάλασσαν, τριχῶδες ἰσχνὸν, ἄκαυλον, ἱκανῶς στυπτικὸν, ποιοῦν πρὸς φλεγμονὰς καὶ ποδάγρας, τὰς στύψεως δεομένας.

Περὶ φύκους θαλασσίου.
Κεφ. ρ΄.

Φύκος θαλάσσιον γίνεται, τὸ μέν τοι αὐτοῦ πλατὺ, τὸ δὲ ὑπομήκες καὶ φοινίσσον, τὸ δὲ, λευκὸν, φυόμενον δὲ ἐν κρήτῃ πρὸς τῇ γῇ. εὐανθὲς ἄγαν καὶ ἄσηπτον. Ψυκτικὴν δὲ ἔχει πάντα τὴν δύναμιν, ποιοῦσαν ἐν καταπλάσμασι, ποδαγρικοῖς καὶ ταῖς φλεγμοναῖς· δεῖ δὲ αὐτοῖς χρῆσθαι ἐνίκμοις πρὸ τοῦ ξηρανθῆναι.

νίκανδρος δέ φησι καὶ θηριακὸν εἶναι τὸ φοινικοῦν. ὅ περ ἔδοξαν. ἔνιοι εἶναι ᾧ αἱ γυναῖκες χρῶνται, ὄντος ἐκείνου ῥιζίου. ὁμωνύμως δὲ καλουμένου φύκοις.

Περὶ Ποταμογείτονος. Κεφ. ρα΄.

Ποταμογείτων φύλλον ἐστὶν ὅμοιον σεύτλῳ, δασὺ καὶ ὀλίγον ὑπερκύπτον τοῦ ὕδατος. ψύχει δὲ καὶ στύφει ἁρμόζον κνησμοῖς καὶ νεμομένοις καὶ παλαιοῖς ἕλκεσιν. ὠνόμασται δὲ διὰ τὸ ἐν τέλμασι καὶ ἐνύδροις τόποις φύεσθαι.

Περὶ Στρατιώτου. Κεφ. ρβ΄.

Στρατιώτης, ὁ ἐπὶ τῶν ὑδάτων φυόμενος· οἱ δὲ ποτάμιον στρατιώτην καλοῦσιν· ὠνόμασται δὲ διὰ τὸ ἐπινήχεσθαι τοῖς ὕδασι καὶ χωρὶς ῥίζης ζῆν. φύλλον δὲ ἔχει ἀειζώου ὅμοιον, μεῖζον μέντοι, καὶ ψυκτικὴν ἔχον δύναμιν. ἐφιστάνον τὰς ἐκ νεφρῶν αἱμοῤῥαγίας πινόμενον· τραύματά τε ἀφλέγμαντα τηρεῖ· καὶ ἐρυσιπέλατα καὶ οἰδήματα σὺν ὄξει καταπλαττόμενον.

Περὶ Χιλιοφύλλου στρατιώτου. Κεφ. ργ΄.

Στρατιώτης ὁ χιλιόφυλλος ἐστὶ θαμνίσκος μικρὸς, σπιθαμιαῖος καὶ μείζων· ἔχων τὰ φύλλα ὅμοια νεοττοῦ πτερῷ· εἰσὶ δὲ αἱ ἐκφύσεις τῶν φύλλων σφόδρα βραχεῖαι, ἐσχισμέναι. ἔοικε δὲ μάλιστα τὰ φύλλα τῇ βραχύτητι,

καὶ τῇ

Nicāder, puniceū aduerſus ſerpētes dedit. Hoc fuco quidā putant mulieres ſuū colorē mentiri, cum tamē ſit radicula eiuſdem nominis, qua ſeſe fucant.

Potamogeton. Cap. CI.

Potamogeton, foliū betæ ſimile, hirſutū, paululum ſupereminens extra aquā. Refrigerat & inſpiſſat: pruriginibus vtile, & cōtra veterum vlcerum nomas. Nomē ex eo inditum eſt, quòd paluſtribus, & aquoſis enaſcatur.

Stratiotes. Cap. CII.

Stratiotes in aquis naſcens, iiſdem ſupernatat, & ſine radice viuit: vnde cognomentum traxit. Herba ſemperuiuo ſimilis, ni maiora haberet folia: quę refrigerant. Sanguinē qui defluit à renibus, pota ſiſtunt: vulnera quę inflammationem minātur, intumeſcere non ſinunt: ignibus ſacris, & tumoribus ex aceto illinuntur.

Stratiotes millefolium.
Cap. CIII.

Stratiotes millefoliū exiguus frutex, palmi altitudine, aut amplius aſſurgit: foliis auicularum pennas imitantibus, breui admodum diſſectóq; foliorū exortu. Folia ſylueſtre cuminum ſimulant, præſertim breuitate atque ſcabritia, breuiora paulò, denſiore vmbella, & pleniore. Surculos in cacumine gerit exiguos, & capitula in modum anethi: flores paruos, candidos. Naſcitur in aſperis agris, præcipuè circa ſemitas. Eximij vſus ad vlcera vetera, recentiáque, profluentem ſanguinem, & fiſtulas.

Verbaſcum. Cap. CIIII.

VERBASCVM differétias ſummas habet duas, hoc nigrum, illud album: in quo mas & fœmina intelligitur. Fœminę igitur folia ſunt braſſicæ, piloſiora multò, & latiora, candida: caulis albus, cubitalis, aut amplior, ſubhirſutus: flores albi, aut ſubpallidi: ſemen nigrum: radix longa, guſtu acerba, craſſitudine digiti: naſcitur in campeſtribus. Verbaſcum, qui mas appellatur, oblongius, albis foliis, & anguſtioribus, tenuiori caule. Sed nigrum prorſus albo ſimile eſſet, niſi nigriore latioréque conſtaret folio. Syluestre folia fert ſaluiæ, altas virgas, & lignoſas, & circa eas ramulos quales marrubium: flores luteos, auri æmulos. Sunt & phlomides duæ, hir-

καὶ τῇ τραχύτητι κυμίνῳ ἀγρείῳ. καὶ ἔτι βραχύτερα, καὶ τὸ σκιάδιον δὲ πυκνότερον τούτου καὶ ἀδρότερον. ἔχει γὰρ ἐπ' ἄκρου καρφία μικρά, ἐφ' ὧν τὰ σκιάδια ἐστὶν ἀνήθου τρόπον· ἄνθη μικρά, λευκά. φύεται ἐν ἀγροῖς ὑποτραχέσι καὶ περὶ τὰς ὁδοὺς μάλιστα. ἔστι δὲ αὕτη ἡ βοτάνη σφόδρα ἀγαθὴ πρὸς αἱμορραγίαν καὶ ἕλκη παλαιά, καὶ πρόσφατα καὶ σύριγγας.

Περὶ Φλόμου. Κεφ. ρδ΄.

Φλόμος τὴν μὲν ἀνωτάτω διαφορὰν ἔχει διττήν, ἡ μὲν γάρ ἐστιν αὐτῆς λευκή, ἡ δὲ, μέλαινα· καὶ τῆς λευκῆς ἡ μὲν, θήλεια, ἡ δὲ, ἄρρην. τῆς μὲν οὖν θηλείας τὰ φύλλα παραπλήσιά ἐστι κράμβῃ, δασύτερα δὲ πολλῷ καὶ πλατύτερα καὶ λευκά· καυλὸς πηχυαῖος καὶ μείζων, λευκός, ὑπόδασυς· ἄνθη λευκὰ ἢ ὕπωχρα· σπέρμα μέλαν· ῥίζα δὲ μακρά, στρυφνή, πάχος ἔχουσα δακτύλου· φύεται δὲ ἐν πεδίοις. Ἡ δὲ ἄρρην καλουμένη, λευκόφυλλος, ὑπομήκης δὲ καὶ στενωτέρα τοῖς φύλλοις, καὶ τῷ καυλῷ δὲ λεπτοτέρα. Ἡ δὲ μέλαινα ὁμοία τῇ λευκαῖς κατὰ πάντα, πλατυφυλλοτέρα μέντοι καὶ μελαντέρα τοῖς φύλλοις ὑπάρχει. Γίνεται καὶ ἡ λεγομένη ἀγρία, ῥάβδους ὑψηλὰς φέρουσα καὶ δενδρώδεις, φύλλα ἐλελισφάκῳ ὅμοια· ἔχει δὲ κλῶνας περὶ τὰς ῥάβδους ὥσπερ πράσιον. ἄνθος μήλινον, χρυσοειδές, εἰσὶ δὲ καὶ φλομίδες διπλαῖ, δαδιπλαῖ, δασεῖαι, περιφυεῖς τῇ γῇ, στρογγύλα ἔχουσαι τὰ φύλλα. Καὶ τρίτη φλομὶς ἡ καλουμένη λυχνῖτις, ὑπὸ δέ τινων θρυαλλὶς, φύλλα γ΄ ἢ δ΄, ἢ καὶ πλείονα, ἔχουσα παχέα, λιπαρὰ, δασέα. εἰς ἐλλύχνια χρησίμη. τῶν μὲν οὖν προτέρων δύο, ῥίζα στυπτική· ὅθεν διαρροιζομένοις, ὅσον ἀστράγαλος σὺν οἴνῳ ὠφελίμως ἐν ποτῷ δίδοται. τὸ δὲ ἀφέψημα αὐτῆς ῥήγμασι καὶ σπάσμασι καὶ θλάσμασι καὶ βηξὶ παλαιαῖς ἀρήγει. ὀδονταλγίας τε πραΰνει διακλυζόμενον. ἡ δὲ χρυσοειδὴς τὰ ἄνθη, τρίχας βάπτει, καὶ ὅπου ἂν τεθῇ σίλφας συνάγει. τὰ δὲ φύλλα ἑφθὰ ἐν ὕδατι, πρὸς οἰδήματα καὶ ὀφθαλμῶν φλεγμονὰς καταπλάσσεται, καὶ πρὸς σφακελίζοντα ἕλκη σὺν μέλιτι ἢ οἴνῳ· σὺν ὄξει δὲ τραύματα θεραπεύει, καὶ σκορπιοπλήκτοις βοηθεῖ. τὰ δὲ τῆς ἀγρίας φύλλα * πυρικαύτων ἐπὶ καταπλάσματα. τὰ δὲ τῆς θηλείας φύλλα φασὶ μετὰ σύκων ξηρῶν συντιθέμενα, ἄσηπτα αὐτὰ διαφυλάττειν.

Περὶ Αἰθιοπίδος. Κεφ. ρέ.

Αἰθιοπὶς, καὶ αὐτὴ παραπλήσια φλόμῳ ἔχει τὰ φύλλα, δασέα δὲ λίαν καὶ πυκνὰ, κύκλῳ περὶ τὸν πυθμένα τῆς ῥίζης· καυλὸν τετράγωνον, παχὺν, καὶ τραχὺν, ἐοικότα μελιτταίνει ἢ ἀρκτίῳ,

hirſutæ, rotũdis foliis, humiles. Tertia lychnitis appellatur, ab aliis autẽ thryallis, foliis ternis, aut quaternis, vel paulò pluribꝰ, hirſutis, craſsis, pinguibúſq;: apta ad lucernarũ lumina. Radix priorum duarum aſtringit: quare quod magnitudine ludicrũ talum æquet, in alui profluuio, cõueniẽter ex vino datur. Decoctum ruptis, cõuulſis, fractis, antiquæ tuſsi, auxiliatur. Dentium dolorem collutione mitigat. Verbaſcum cui flos aureus, capillos tingit, & quocunque abiiciatur, blattas in ſe contrahit. Cocta in aqua folia, aduerſus tumores, inflammationes oculorum, ſyderata vlcera, ex vino & melle illinuntur: cum aceto quoque vulneribus medentur: contra ſcorpionum ictus, ſunt auxilio. Sylueſtris folia ambuſtis igni, ſunt cataplaſmata. Aiunt in foliis eius, quam fœminam dicimus, aridos ficus omnino non putreſcere.

Æthiopis. Cap. CV.

Æthiopis folia habet verbaſco ſimilia, perquàm hirſuta, denſaque, in orbem circa radicem imam redacta: caulem quadrangulum, craſſum ac ſcabrũ, ſimilẽ apiaſtro, aut arctio,

Universitäts- und Landesbibliothek Düsseldorf urn:nbn:de:hbz:061:2-194136-p0499-5 DFG

multis concauum alis: ſemé erui magnitudine, geminum, in vno conceptaculo: radices ab eodem ceſpite numeroſas, longas, plenas, glutinoſas guſtu, quæ ſiccæ nigreſcunt durantúrq;, vt cornua poſsint videri: plurima naſcitur in Ida monte Throadis, & in Meſſenia. Auxiliatur purulentis excreationibus, iſchiadicis, pleuriticis, arteriæ ſcabritiis, decocta radix, & pota: quin & cum melle, eclegmatis vicem præbet.

Arction. Cap. CVI.

Arction, aliqui potius arcturon vocant, ſimilis eſt verbaſco foliis, niſi quòd hirſutiora, & rotundiora ſunt: caule longo, molli: ſemine cumini, paruo: radice tenera, alba, dulcíque. Decocta cum ſemine radix in vino, dentium dolorem mulcet, ſi contineatur ore decoctum: ambuſta pernionéſq; fouentur eodem: bibitur aduerſus coxédicum dolores, & ſtranguriam, è vino.

Arcion, ſiue Perſonata.
Cap. CVII.

Perſonata folia habet cucurbitæ, maiora & hirſutiora, nigriora & craſsiora: caulem albicantem, quanquam & interdũ vidua caule reperiatur:

radice

μασχάλας ἀνιέντα πολλάς· καρπὸν δὲ περὶ μέγεθος ὀρόβου συνδύο ἐν ἑνὶ ἀγγείῳ· ῥίζας ἀπὸ τοῦ αὐτοῦ πυθμένος πολλάς, μακράς, παχείας, γευομένῳ κολλώδεις· γίνονται δὲ ξηραινόμεναι μέλαιναι καὶ σκληραί, κέρασιν ἐοικυῖαι· πλείστη δὲ γεννᾶται κατὰ τὴν μεσσηνίαν καὶ τὴν ἴδην. Ταύτης ἡ ῥίζα ἑψομένη καὶ πινομένη βοηθεῖ ἰσχιάσι, πλευρίτισι, αἵματος πτύσει, καὶ ἀρτηρείας τραχύτητι· λαμβάνεται δὲ μετὰ μέλιτος ἀντὶ ἐκλεικτοῦ.

Περὶ Ἀρκτίου. Κεφ. ρϛʹ.

Αρκτιον, οἱ δὲ ἀρκτοῦρον, φλόμῳ καὶ αὐτὴ ἔχει ἐοικότα τὰ φύλλα, δασύτερα δὲ καὶ στρογγυλώτερα· ῥίζαν ἁπαλήν, γλυκεῖαν, λευκήν· καυλὸν δὲ μαλακόν, μακρόν· καρπὸν δὲ κυμίνῳ μικρῷ ὅμοιον. Ταύτης ἡ ῥίζα δύναται καὶ ὁ καρπὸς ἀφεψηθέντα ἐν οἴνῳ, ὀδονταλγίας διακρατούμενα πραΰνειν, καὶ πυρικαύτων καὶ χιμέτλης ἐστὶ καταίντλημα· πίνεται δὲ καὶ πρὸς ἰσχιάδας καὶ δυσουρείαν ἐν οἴνῳ.

Περὶ Ἀρκείου. Κεφ. ρζʹ.

Αρκειον, οἱ δὲ, προσωπίδα, οἱ δὲ, προσώπιον καλοῦσι, φύλλα ἔχει ὅμοια τοῖς τῆς κολοκύνθης, μείζονα μέν τοι καὶ σκληρότερα καὶ μελάντερα καὶ δασέα· καυλὸν ὑπόλευκον, ἐνίοτε δὲ καὶ ἄκαυλος ἡ πόα·

ῥίζα μεγάλη καὶ λευκὴ ἔνδοθεν, ἔξωθεν δὲ μέλαινα. Η τις βοηθεῖσα < α. πλῆθος μετὰ στροβίλων, αἱμοπτοϊκοῖς, ἐμπυικοῖς, παύει· καὶ τὰ ἐκ τῶν λυγισμῶν περὶ τὰ ἄρθρα διγήμαατα καταπλασσομένη λεία. καὶ τὰ φύλλα δὲ ὠφελίμως ἐπὶ τῶν παλαιῶν ἑλκῶν καταπλάττεται.

Περὶ Πετασίτου. Κεφ. ρη΄.

Πετασίτης μόσχος ἐστὶ μείζων πήχεως, δακτύλου μεγάλου πάχος, ἐφ᾽ οὗ φύλλον πετασῶδες μέγα, προσκείμενον ὥσπερ μύκης ποιοῦ πρὸς τὰ κακοήθη καὶ φαγεδαινικὰ ἕλκη λεῖον καταπλασσόμενον.

Περὶ Ἐπιπακτίδος. Κεφ. ρθ΄.

Ἐπιπακτὶς, οἱ δὲ, ἑλλεβορίνην, θαμνίσκος μικρὸς, ἐλάχιστα φυλλάρια ἔχων. πρὸς τὰ θανάσιμα δὲ πίνεται, καὶ πρὸς τὰ ἐν ἥπατι πάθη.

Περὶ Καπνοῦ. Κεφ. ρι΄.

Καπνὸς βοτάνιόν ἐστι θαμνοειδὲς, κορίῳ ἐοικὸς, τρυφερὸν πάνυ· τὰ δὲ φύλλα λευκότερα καὶ τεφροειδῆ πολλὰ πανταχόθεν· ἄνθος πορφυροῦν. τούτου ὁ χυλὸς δριμὺς, ὀξυδερκὴς, δακρύων ἀγωγός· ὅθεν καὶ τοὔνομα εἵλκυσε. δύναται δὲ καὶ τὰς ἐκ τῶν βλεφάρων διπλᾶς τρίχας σὺν κόμμει καταχρισθεὶς μὴ ἐᾶν φύεσθαι. βρωθεῖσα δὲ ἡ πόα, οὖρα ἄγει χολώδη.

Περὶ

radice grandi, intus candida, foris nigra. Hæc drachmæ vnius pondere pota, cum pineis nucibus, puruléta & cruenta extuſsientibus auxiliatur: trita dolores à contorſionibus artuum contractos, illitu ſedat. Folia vtiliter antiquis vlceribus illinuntur.

Petaſites. Cap. CVIII.

Petaſites pediculus cubito maior, craſsitudine pollicis, à quo prægrande folium, galeri modo amplum, ceu fungus depédet. Contra phagedænas, & vlcera quæ cacoëthe vocant, efficaciter illinitur.

Epipactis. Cap. CIX.

Epipactis ab aliis helleborine, parua herba, exiguis foliis. Iocineris vitiis vtilis, & contra venena pota.

Capnos, ſeu fumaria. Ca. CX.

Fumaria fruticoſa herbula eſt, prætenera, coriandri ſimilis: foliis candidioribus, vndique numeroſis, cineracei coloris: flore purpureo. Huius ſuccus claritatem facit oculis, delachrymationémque: vnde nomen traxit. Illitus cũ gummi, euulſas palpebras renaſci prohibet. Commanducata herba bilioſam vrinam trahit.

Lotus

Lotus vrbana. Cap. CXI.

Lotum vrbanam alij trifoliũ vocãt: naſcitur in hortis. Extractus ſuccus, addito melle, oculorum argema, nubeculas, cæteráſque caligines diſcutit.

Sylueſtris lotus. Cap. CXII.

Sylueſtris lotus, quam trifolium minus appellant, plurimum in Libya gignitur, caule bicubitali, & ſæpe maiore, alis multis: foliis trifolij pratenſis: ſemine fœnigræci, multò minore, guſtu medicato. Vim calfaciendi, & leniter adſtringendi obtinet: vitia cutis in facie, maculáſque, cum melle peruncta expurgat: trita per ſeſe aut cum maluæ ſemine, in vino aut paſſo bibitur aptiſsimè contra dolores, qui veſicam malè habent.

Cytiſus. Cap. CXIII.

CYTISVS, frutex eſt albus in totum, vt rhamnus, ramos ſpargens cubitales, ſæpe maiores, in quibus folia fœnigræci, aut loti trifoliæ, minora, dorſo medio prominente. Ea digitis trita erucam olent, guſtatáque cicer recens ſapiunt. Folia refrigerant: tumores inter initia diſcutiũt, ſi cum pane trita illinantur.

Decoctũ

Περὶ Λωτοῦ ἡμέρου. Κεφ. ρια´.

Λωτὸς ἥμερος, οἱ δὲ τρίφυλλον· φύεται ἐν παραδείσοις. ὃς χυλισθεὶς καὶ μιγεὶς μέλιτι, ἄργεμα καὶ νεφέλια καὶ λευκώματα καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀποκαθαίρει.

Περὶ Λωτοῦ ἀγρίου. Κεφ. ριβ´.

Λωτὸς ἄγριος, οἱ δὲ, λίβυον καλοῦσι, φύεται μὲν, πλεῖστος ἐν λιβύῃ, καυλὸν φέρων δίπηχυν ἢ καὶ μείζονα, μασχάλας ἔχοντα πολλάς· φύλλα ὅμοια λωτῷ τριφύλλῳ, τῷ ἐν χορτοκοπείοις γινομένῳ· σπέρμα ἐοικὸς τήλιδι, μικρότερον δὲ πολλῷ, φαρμακῶδες ἐν τῇ γεύσει. Δύναμιν δὲ ἔχει θερμαντικὴν, ἠπίως στυπτικήν. ἀποκαθαρτικὴν σπίλων τῶν ἐπὶ τοῦ προσώπου καὶ ἐφηλίδων σὺν μέλιτι καταχριόμενος. πινόμενος δὲ καθ᾽ ἑαυτὸν λεῖος ἢ καὶ μετὰ μαλάχης σπέρματος σὺν οἴνῳ ἢ γλυκεῖ, τοῖς περὶ κύστιν ἀλγήμασι βοηθεῖ.

Περὶ κυτίσου. Κεφ. ριγ´.

Κύτισος θάμνος ἐστὶ λευκὸς ὅλος ὡς ῥάμνος, κλάδους ἀνιεὶς πηχυαίους καὶ μείζονας, περὶ οὓς τὰ φύλλα ὅμοια τήλιδι, ἢ λωτῷ τριφύλλῳ μικρότερα δὲ καὶ ῥάχιν ἔχοντα μείζονα. ἐν δὲ τῷ διατριβῆναι τοῖς δακτύλοις ὄζοντα εὐζώμου, ἐν δὲ τῇ γεύσει ὅμοια ἐρεβίνθοις χλωροῖς. Δύναμιν δὲ ἔχει τὰ φύλλα ψυκτικήν· διαφορητικὴν τῶν ἐν ἀρχῇ οἰδημάτων σὺν ἄρτῳ λεῖα καταπλασσέντα.

θέντα. κινεῖ δὲ καὶ οὖρα. τὸ ἀφέψημα αὐτῶν πινόμενον. ἔνιοι δὲ φυτεύουσιν αὐτὸν παρὰ τοῖς σμήνεσιν ὡς ἐπακτικὸν τῶν μελισσῶν.

Περὶ Λωτοῦ αἰγυπτίου. Κεφ. ριδʹ.

Λωτὸς, ὁ ἐν αἰγύπτῳ γινόμενος ἐν τῷ ὕδατι τῶν ἐπικλυσθέντων πεδίων καυλός ἐστι τῷ τοῦ κυάμου ἐμφερής· ἔχων ἄνθος μικρὸν, λευκὸν, ἐοικὸς κρίνῳ, ὃ φασὶ κατὰ τὰς ἀνατολὰς τοῦ ἡλίου* ἀπλοῦσθαι, δυόντος δὲ μύειν· καὶ ὅλην τὴν κωδίαν κρύπτεσθαι ἐν τῷ ὕδατι, πάλιν τε πρὸς τὴν ἀνατολὴν τοῦ ἡλίου ὑπερκύπτειν. ἔοικε δὲ ἡ κωδία μήκωνι μεγίστῃ· ἐν ᾗ καρπὸς ὡς κέγχρος, ὃν ξηράναντες οἱ ἐν αἰγύπτῳ, βάλλουσιν εἰς ἀρτοποιΐαν. ῥίζαν δὲ ἔχει ὁμοίαν μήλῳ κυδωνίῳ, ἥ τις καὶ αὐτὴ ἐσθίεται ὠμή τε καὶ ἑφθή. ἀναλογεῖ δὲ ἑψηθεῖσα τῇ ποιότητι λεκύθῳ ᾠοῦ.

Περὶ Μυριοφύλλου. Κεφ. ριεʹ.

Μυριόφυλλον καυλίσκος ἐστὶ μονοφυὴς, τρυφερὸς, μονόρριζος· περὶ ὃν φύλλα πολλὰ, λεῖα, μαράθρῳ ὅμοια· ὅθεν καὶ ὠνόμασται. ὁ δὲ καυλός ἐστιν ὑπόκιρρος, * διαποίκιλος, ὡς ἐπίτηδες διερρινισμένος*· φύεται ἐν ἑλώδεσι τόποις. τοῦτο τηρεῖ ἀφλέγμαντα τὰ νεότρωτα τῶν ἑλκῶν σὺν ὄξει χλωρόν τε καὶ ξηρὸν καταπλασσόμενον· ποτίζεται δὲ καὶ πρὸς πτώματα σὺν ὕδατι καὶ ἁλσίν.

Περὶ

Decoctum potu vrinam ciet. Nonnulli, quòd apes adiiciat, prope aluearia ſerunt.

Lotus Ægyptia.
Cap. CXIIII.

EST & in Ægypto lotus, quæ in campis flumine inundatis prouenit, caule fabæ: flore paruo, candido, lilio ſimili, quem tradunt occidente ſole comprimi occludíque, ad ortum autem aperiri: addúntque, caput ipſum veſpera aquis condi, & ad exortum ſolis emergere. Caput quale papaueris, maximũ: & intus grana ceu milij, quæ Ægyptij exiccant, & in panes cogunt. Radicem lotos hæc habet, mali cotonei ſimilitudine, quæ cruda coctaq; mãditur: decoctáque lutei oui qualitatem exhibet.

Millefoliũ. Cap. CXV.

Myriophyllum, ſiue millefoliũ, caulis eſt tener, ſingularis, vnica nixus radice: plurimis foliis, læuibus, fœniculo ſimilibꝰ: vnde nomẽ accepit. Caulis flaueſcit varius, ac veluti ex induſtria delimatus: naſcitur in paluſtribus. Vulnera recentia ab inflammatione vindicat, ſi vel viride, vel ſiccũ ex aceto, oblinatur: pręcipitatis in potu cum aqua & ſale datur.

Myrrhis.

Myrrhis. Cap. CXVI.

Myrrhis, ſimillima eſt cicutæ, caule foliiſque: radix ei oblonga, mollis, rotunda, odorata, cibo non inſuauis. Quæ pota in vino, phalangiorum morſibus auxiliatur: cit menſtrua, & partus ſecundos, purgátque á puerperio fœminas: ſubuenit & phthiſicis cocta in ſorbitione. Aiunt quoq; eãdem bis die térve potam ex vino, in peſtilétia ſalutaré eſſe, & ne morbi cõtagia ſentiantur obſtare.

Myagrum. Cap. CXVII.

Myagron, aliqui melampyron vocant, herba eſt ſurculacea, foliis rubiæ, pallidis, tripedanea: ſemen oleoſum, fœnogræco ſimile. Quod contuſum igni torrent, perunctiſq; virgis ad lucernarum lumina vtuntur hoc pingui, ſcabritias corporis leuigari, atque expoliri conſtat.

Onagra. Cap. CXVIII.

ONAGRA, ſiue onothera, aut onuris, frutex eſt arboris inſtar, prægrandis, amygdalino folio, ſed latiore, lilio non diſſimili: flore roſaceo, magno: radice candida, longa: cum ſiccata eſt, vinum olente: naſcitur in montibus. Aqua in qua radix maduerit, in potu

Περὶ Μύῤῥιδος. Κεφ. ρις΄.

Μύῤῥις, οἱ δὲ μύῤῥαν καλοῦσι, τῷ καυλῷ καὶ τοῖς φύλλοις ἔοικε κωνείῳ· ῥίζαν δὲ ἔχει ἐπιμήκη, ἁπαλὴν, περιφερῆ, εὐώδη, ἡδεῖαν βρωθῆναι. Η τις πινομένη σὺν οἴνῳ φαλαγγιοδήκτοις βοηθεῖ· καθαίρει δὲ ἔμμηνα, καὶ λοχία· καθεψηθεῖσα δ' ἐν ῥοφήμασιν, ὠφελίμως φθισικοῖς δίδοται. ἱστοροῦσι δὲ ἔνιοι πινομένης αὐτῆς δὶς ἢ τρὶς τῆς ἡμέρας σὺν οἴνῳ ἐν λοιμικαῖς καταστάσεσι, βοηθεῖν πρὸς τὸ ἀνόσους διαμένειν.

Περὶ *Μυάγρου. Κεφ. ριζ΄.

*Μύαγρος, οἱ δὲ μελάμπυρον, πόα φρυγανώδης δίπηχυς, φύλλα ἔχουσα ἐμφερῆ τοῖς τοῦ ἐρυθροδάνου, ὠχρά· σπέρμα βαχίλῳ ἐοικὸς λιπαρόν. ᾧ χρῶνται, κόπτοντες αὐτὸ πεφωγμένον, καὶ περιπλάττοντες ῥάβδοις, καὶ ἀντὶ λύχνου χρώμενοι. δοκεῖ δὲ ἐξ αὐτῶν λίπος ὁμαλίζειν καὶ λεαίνειν τὰς τοῦ σώματος τραχύτητας.

Περὶ Ονάγρας. Κεφ. ριη΄.

Ονάγρα, οἱ δὲ ὀνοθήραν, οἱ δὲ, ὄνουριν, θάμνος ἐστὶ δενδροειδὴς, εὐμεγέθης, φύλλα ἔχων ἀμυγδαλῇ παραπλήσια* γλυκύτερα δὲ καὶ ἐμφερῆ τοῖς τοῦ κρίνου· ἄνθη ῥοδοειδῆ, μεγάλα· ῥίζαν δὲ λευκὴν, μικρὰν, ἥτις ξηρανθεῖσα, οἴνου ὀσμὴν ἀποδίδωσι. φύεται ἐν ὀρεινοῖς τόποις. Δύναμιν δὲ ἔχει τὸ ἀπόβρεγμα τῆς ῥίζης ὑπὸ τῶν ἀγρίων ζώων πινόμενον, ἡμεροῦν αὐτά· καταπλασθεῖσα δὲ πραΰνει τὰ θηριώδη ἕλκη.

Περὶ Κιρσίου. Κεφ. ριθ΄.

Κίρσιον καυλός ἐστιν ἁπαλός, ὡς δίπηχυς, τρίγωνος, τὰ κάτωθεν φυλλάρια ῥοδοειδῆ ἔχοντα· τὰς γωνίας ἀκανθώδεις ἐκ διαστημάτων μαλακάς. τὰ δὲ φύλλα βουγλώσσῳ ἐμφερῆ, δασέα μετρίως καὶ μακρότερα, ὑπόλευκα, ἀκανθώδη τοῖς πέρασι. τὸ δὲ ἀνωτάτω τοῦ καυλοῦ περιφερὲς, δασὺ καὶ ἐπ' αὐτοῦ κεφάλια ἀκροπόρφυρα, ἐκπαππούμενα. ταύτης τὴν ῥίζαν ἀνδρέας ἀναγράφει ὑπὲρ τὸν ἀλγοῦντα τόπον ἀναδούμενον, παύειν κιρσῶν πόνους.

Περὶ Ἀστέρος ἀττικοῦ.
Κεφ. ρκ΄.

Ἀστὴρ ἀττικὸς ῥαβδίον ξυλῶδες, *ἐπ' ἄκρου ἔχον ἄνθος πορφυροῦν, ἢ μήλινον, ὥσπερ ἀνθεμίδος κεφάλιον περισχιδές· ἔχει δὲ φυλλάρια ἀστέρι ὅμοια. τὰ δὲ περὶ τὸν καυλὸν φύλλα ὑπομήκη καὶ δασέα. Ὠφελεῖ δὲ στόμαχον ἐκπυρούμενον καταπλασσόμενον, καὶ ὀφθαλμῶν φλεγμονὰς καὶ βουβῶνας, καὶ τὰς προπτώσεις ἕδρας. φασὶ δὲ καὶ τὸ πορφυρίζον τοῦ ἄνθους μεθ' ὕδατος ποθὲν, συναγχικοῖς βοηθεῖν καὶ ἐπιληψίαις παίδων. ἁρμόζει δὲ καταπλασσόμενον ὑγρὸν πρὸς βουβώνων φλεγμονάς.

ξηρὸν

in potu data, feras mitigat, & cicures facit: illitu quoque tetra vlcera mulcet.

Cirſium. Cap. CXIX.

Cirſium, caulis eſt tener, duorum cubitorum, triãgulo ſimilis: ab imo foliola, roſæ ſpeciem referentia: anguli ſpinoſi, per interualla molles: folia bugloſſo ſimilia, maiora, ſubcãdida, modicè hirſuta, partibus extremis aculeata: cacumen caulis orbiculatum, hiſpidum, in quo capitulo in ſummo purpurea, quæ ſoluũtur in lanugines. Radicẽ huius loco laborãti adalligatã, dolores varicum ſedare Andreas ſcripſit.

Aſter Atticus. ſeu inguinalis. Cap. CXX.

Aſter Atticus cauliculus lignoſus, florem in cacumine habẽs purpureũ, luteũmve, per ambitũ, anthemidis capituli modo diuiſum, foliolis ſtellę modo radiatis: quæ autẽ caulẽ circũdãt folia oblonga ſunt ac hirſuta. Feruenti ſtomacho, oculorum inflãmationibus, ꝓciduæ ſedi, ac inguinibus illitu auxiliatur. Tradunt purpureum florem, ſi ex aqua bibat, anginis, & pueris comitiale malum ſentiẽtibus opitulari. Inguinũ inflãmationi recentẽ illinire cõuenit.

Si aridus flos ſiniſtra dolentis manu decerpatur, & inguinib⁹ adligetur, dolore liberat.

Iſopyrum. Cap. CXXI.

ISOPYRON, aliqui phaſiolon ob ſimilitudinem vocant, quoniam foliū quod eſt aniſo ſimile in pampinos torquetur: capitula ſunt in ſummo caule, tenuia, plena ſeminis, melanthij guſtum imitantis. Contra tuſſim, & cætera pectoris vitia, ſemen ex aqua mulſa bibitur: hepaticis, & ſanguinem excreantibus vtile.

Viola purpurea. Cap. CXXII.

VIOLA purpurea folium habet hedera minus, tenuius ac nigrius, nec multò diſsimile: cauliculus à radice medius prodit, in quo floſculus, ſuauiſsimè olens, purpureus: opacis & aſperis naſcitur. Refrigerandi naturam habet. Folia per ſe, & ex polenta illinuntur aptiſsimè ſtomacho ęſtuanti, & oculorum inflammationibus, ſedíque procidenti.

Cacalia. Cap. CXXIII.

CACALIA, quæ leontice vocatur, folia fert magna, alba, è quibus medius caulis emicat,

ξηρὸν ἢ ἀναιρεθὲν τῇ ἀριστερᾷ χειρὶ* τοῦ ἀλγοῦντος, καὶ περιαφθὲν τῷ βουβῶνι, ἀπαλλάσσει τῆς ὀδύνης.

Περὶ Ἰσοπύρου. Κεφ. ρκά.

Ἰσόπυρον, οἱ δὲ, φασίολον καλοῦσιν, ἀπὸ τοῦ ἐοικέναι φασιόλῳ, τῷ κατ᾽ ἄκρον τὸ πέταλον ἕλικα φέρειν· ἔπεισι δὲ κεφαλαὶ ἐπ᾽ ἄκρου τοῦ καυλοῦ, λεπταὶ, σπερματίων πλήρεις, παραπλησίων μελανθίῳ τὴν γεῦσιν. τὸ δὲ φύλλον ἀνίσῳ· τούτου τὸ σπέρμα πινόμενον σὺν μελικράτῳ, τοὺς περὶ θώρακα πόνους καὶ βῆχας ὠφελεῖ· αἱμοπτοϊκοῖς τε ϗ ἡπατικοῖς ἁρμόζει.

Περὶ Ἴου. Κεφ. ρκβ΄.

Ἴον* φύλλον ἔχει μικρότερον κισσοῦ ϗ λεπτότερον, μελαίτερον δὲ ϗ οὐκ ἀνόμοιον· καυλίον μέσον ἀπὸ τῆς ῥίζης, ἐφ᾽ οὗ ἀνθήλιον σφόδρα εὐῶδες, πορφυροῦν. φύεται ἐν παλισκίοις ϗ τραχέσι τόποις. Δύναμιν δὲ ἔχει ψυκτικήν. οὗ τὰ φύλλα καταπλασσόμενα καθ᾽ ἑαυτὰ καὶ μετὰ ἀλφίτων, βοηθεῖ στομάχῳ καυσουμένῳ, καὶ ὀφθαλμῶν φλεγμοναῖς, καὶ ταῖς τῆς ἕδρας προπτώσεσι. φασὶ δὲ τὸ πορφυρίζον τοῦ ἄνθους μεθ᾽ ὕδατος ποθὲν, συναγχικοῖς βοηθεῖν ϗ ἐπιληψίαις ταῖς ἐπὶ παίδων.

Περὶ Κακαλίας. Κεφ. ρκγ΄.

Κακαλία, οἱ δὲ, λεοντικὴν, φύλλα φέρει λευκὰ, εὐμεγέθη· καυλὸς

ἢ ἐξ

δὲ ἐξ αὐτῶν μέσος ὀρθός, λευκὸς, ἄνθος ἔχων ἐοικὸς δρυῒ ἢ ἐλαίᾳ· ἐν ὄρεσι δὲ φύεται. Ταύτης ἡ ῥίζα ἐν οἴνῳ βρεχομένη ὡς τραγάκανθα καὶ ἐκλειχομένη ἢ διαμασωμένη καθ᾽ ἑαυτὴν, βῆχας καὶ τραχύτητας τῆς ἀρτηρίας θεραπεύει. οἱ δὲ μετὰ τὴν ἐξάνθησιν ἐπιφυόμενοι κόκκοι λεῖοι, ἀναληφθέντες κηρωτῇ καὶ ἐπιχρισθέντες, τεταμένον καὶ ἀρρυτίδωτον τηροῦσι τὸ πρόσωπον

Περὶ Βουνίου. Κεφ. ρκδʹ.

Βούνιον καυλὸν ἀνίησι τετράγωνον, ἐπιμήκη, πάχος δακτυλιαῖον, φύλλα δὲ *ὅμοια σελίνῳ, λεπτότερα δὲ πολλῷ πρὸς τὰ τοῦ *κορίου· ἄνθος ἀνήθου· σπέρμα εὐῶδες, ὑοσκυάμου μικρότερον. Ἔστι δὲ οὐρητικὸν, θερμαντικὸν, καὶ δευτέρων ἀγωγὸν σπληνί τε καὶ νεφροῖς καὶ κύστει ἐπιτήδειον· χρῆσις δὲ αὐτοῦ ὑγροῦ τε καὶ ξηροῦ, καὶ χυλισθέντος σὺν ταῖς ῥίζαις καὶ τοῖς καυλοῖς καὶ τοῖς φύλλοις μετὰ μελικράτου.

Περὶ Ψευδοβουνίου. Κεφ. ρκεʹ.

Ψευδοβούνιον θαμνίον ἐστὶ *σπιθαμιαῖον ἐν κρήτῃ, ἔχον φύλλα βουνίῳ ὅμοια δριμέα. *δύναται δὲ καὶ τὰ ἐξ αὐτοῦ πινόμενα κλωνία ὅσον δʹ. σὺν ὕδατι, στρόφοις καὶ στραγγουρίας, καὶ πλευρᾶς πόνον θεραπεύειν· διαφορεῖ δὲ καὶ χοιράδας μετὰ ἁλῶν καὶ οἴνου καταπλασσόμενα χλιαρά.

Περὶ

emicat, rectus, albus, florem ferens robori aut oleæ ſimilem: naſcitur in montibus. Radix in vino madefacta, vt tragacantha, delinctu aut manducatu per ſe tuſsibus, ſcabritiis arteriæ, medetur. Grana quæ poſt excuſſum florem innaſcuntur, trita & cum cerato illita, faciem erugant, & cutem extēdunt.

Bunion. Cap. CXXIIII.

Bunion caulē ædit quadrangulum, procerum, digiti craſsitudine, in quo ramuli minutis foliis ac floribus ſcatent: folia proximè radicē, apio ſimilia, longè tenuiora, coriādrinis ꝓxima: flores anethi: ſemen odoratum, hyoſciamo minus. Vrinā ciet, excalfacit, ſecūdas euocat: lieni, veſicæ, renibus vtile: Tam humidi q̄ ſicci, expreſsiq́; ſucci caulibꝰ, foliis, radicibusq́; vſus inualuit ex aqua mulſa.

Pſeudobunion. Cap. CXXV.

Pſeudobunion palmi altitudine fruticat in Creta, folia ramulósque napi ferens, acri guſtu. Tormina, atque ſtranguriam, laterúmque dolores, ſanant quaterni rami eius poti in aqua: illiti quoque cum ſale & vino, tepentes, ſtrumas diſcutiūt.

Chamæ-

Universitäts- und Landesbibliothek Düsseldorf urn:nbn:de:hbz:061:2-194136-p0507-1 DFG

Chamæciſſus. Cap. CXXVI.

Chamæciſſos, folio eſt hederæ, tenuiore, longiore, ramulis à radice quinis ſenísve, dodrãtalibus, folioſis: flore violę albę ſimili, candidiore, ac tenuiore, guſtu ſupra modum amaro: radice tenui, candida, inutili: naſcitur in cultis. Bibunt conuenientiſsimè iſchiadici folia, tribus obolis in aquæ cyathis trib⁹, tricenis quadragenísve diebus. eodé pota modo, ſenis aut ſeptenis diebus, regium morbum purgant.

Chamæleuce. Cap. CXXVII.

Chamæleuce lumborũ doloribus propitia eſt, herba virens: incuruis foliis, ſurculíſq;: flore roſaceo.

Bugloſſum, ſeu lingua bubula. Cap. CXXVIII.

Bugloſſum verbaſco ſimile eſt, folium in terra ſparſum, nigrius, aſperum, bubulas imitãs linguas. Quod in vinum deiectum, animi voluptates auget.

Cynogloſſum. Ca. CXXIX.

Cynogloſſon folia latifoliæ plantaginis habet, arctiora, minora, lanuginoſa: caule vacat, & humi ſternitur: ꝓuenit in ſabuletis. Folia cum ſuillo adipe veteri, medentur morſibus canum, alopeciis, &

Περὶ Χαμαικίσσου. Κεφ. ρκϛʹ.

Χαμαίκισσος φύλλα ἔχει ὅμοια κισσοῖς, μακρότερα δὲ καὶ λεπτότερα, πολλά, κλωνία σπιθαμιαῖα, περίπλεα φύλλων ἀπὸ τῆς γῆς έ ἢ ϛ΄, ἄνθη λευκοΐοις ὅμοια μικρότερα, καὶ πικρὰ πρὸς τὴν γεῦσιν ἰσχυρῶς· ῥίζα λεπτή, λευκή, ἄχρηστος· φύεται ἐν ἐργασίμοις χωρίοις. Ἁρμόζει δὲ τὰ φύλλα ἰσχιαδικοῖς, ὅσον τριώβολος ἐν ὕδατι κυάθοις τρισὶ πινόμενα ἐπὶ ἡμέρας μ΄ ἢ ν΄. καὶ ἴκτερον δὲ ἀποκαθαίρει, ὁμοίως πινόμενα πρὸς ϛ΄ ἢ ζ΄. ἡμέρας.

Περὶ χαμαιλεύκης.
Κεφ. ρκζʹ.

Χαμελεύκη ποιεῖ πρὸς ὀσφύος ἀλγήματα ἐν ὕδατι λεία πινομένη.

Περὶ Βουγλώσσου.
Κεφ. ρκηʹ.

Βούγλωσσον ἔοικε φλόμῳ, φύλλον δὲ ἔχει χαμαιπετὲς, τραχύτε καὶ μελάντερον, ὅμοιον βοὸς γλώσσῃ. ὃ περ καθιέμενον εἰς τὸν οἶνον εὐφρόσυνον δοκεῖ εἶναι.

Περὶ Κυνογλώσσου. Κεφ. ρκθʹ.

Κυνόγλωσσον φύλλα ἔχει ἀρνογλώσσῳ τῷ πλατυφύλλῳ ἐμφερῆ, στενότερα δὲ καὶ μικρότερα, χνοώδη, ἄκαυλον, ἐπὶ γῆς ἐστρωμένον· φύεται ἐν ἀμμώδεσι τόποις. Δύναμιν δὲ ἔχει τὰ φύλλα λεῖα σὺν στέατι παλαιῷ ὑείῳ, κυνόδηκτα καὶ ἀλωπεκίας, καὶ πεκίας, καὶ κατακαύματα ἰᾶται· ἑψηθεῖσα δὲ ἡ πόα καὶ πινομένη σὺν οἴνῳ, κοιλίας ἐστὶ μαλακτική.

Περὶ Φυτεύματος. Κεφ. ρλ΄.

Φύτευμα φύλλα ἔχει ὅμοια στρουθίῳ, μικρότερα δέ· καρπὸν πολὺν τετρημένον· ῥίζαν μικρὰν, λεπτὴν, ἐπιπόλαιον· ἣν ἀναγράφουσί τινες εὐθετεῖν πρὸς φίλτρον.

Περὶ Λεοντοποδίου. Κεφ. ρλα΄.

Λεοντοπόδιον διδακτυλιαῖον ἐστὶ βοτάνιον, ἔχον φυλλάρια στενὰ *ἰσχυρὰ, ὡς τεσσάρων δακτύλων ἢ καὶ τριῶν τὸ μῆκος, δασέα, ἐριωδέστερα τὰ πρὸς τῇ ῥίζῃ καὶ ὑπόλευκα· ἐπ᾽ ἄκρων δὲ τῶν καυλῶν κεφάλια ὥσπερ *τετρημένα, ἐν οἷς ἄνθη μέλανα· ὁ δὲ καρπὸς αὐτοῦ δυσθεώρητος διὰ τὸν περικεχυμένον αὐτῷ χνοῦν· ῥίζα δ᾽ ὕπεστι μικρά. φασὶ δὲ καὶ ταύτην *εὐχρηστεῖν εἰς φίλτρα.

Περὶ Ἱππογλώσσου.
Κεφ, ρλβ΄.

Ἱππόγλωσσον θαμνίσκος ἐστὶ μυρσίνῃ ἀγρίᾳ καὶ λεπτῇ τὰ φύλλα ὅμοιος. κόμην δὲ ἀκανθώδη ἔχει, καὶ ἐπ᾽ ἄκρου ὥσπερ *γλωσσίδια παρὰ τοῖς φύλλοις· δοκεῖ δὲ ἡ κόμη περίαμμα εἶναι χρήσιμον κεφαλαλγοῦσι· μίγνυται δὲ καὶ εἰς μαλάγματα. ἥτε ῥίζα καὶ τὸ χύλισμα.

Περὶ Ἀντιῤῥίνου. Κεφ. ρλγ΄.

Ἀντίῤῥινον, οἱ δὲ ἀνάῤῥινον,

ἔνιοι

& ambuſtis. Emollit aluum, decoctum herbæ ex vino potum.

Phyteuma. Cap. CXXX.

Phyteuma folia habet radiculæ, minora: copioſum ſemẽ, perforatum: radicem paruã, tenuem, per ſumma terræ nitentem: quã ad amatoria cõuenire, nonnulli ſcriptũ reliquerũt.

Leontopodiũ. Cap. CXXXI.

Leontopodiõ duûm digitorum herbula eſt, folia ferẽs anguſta, lõgitudine ternûm quaternúmve digitorũ hirſuta, q̃ iuxta radicẽ lanoſiore flocco caneſcunt: capitula in ſummo caule quaſi perforata: flores nigri: ſemẽ vſq; adeò ſpiſſa lanugine inuolutum eſt, vt ſæpe fallat: radice parua cohæret: quã tradunt appẽſam ad amatoria prodeſſe, & tubercula diſcutere.

Hippogloſſum.
Cap. CXXXII.

Hippogloſſon, frutex eſt folia habens ruſci tenuis figura, & ſpinoſam comã, & in ſummo ceu linguas è foliis exeuntes. Capitis dolorem carona ex comis impoſita minuit: Malagmatis radix ſuccúſque admiſcetur.

Antirrhinũ. Cap. CXXXIII.

Antirrhinõ, alij anarrinõ vocant,herbam caule & foliis anagallidi ſimilem : flore albæ violæ , purpureo , minore tamen, ideóque ſylueſtris lychnis nominata eſt : ſemine vituli narium ſimili. Tradunt perunctos ea, cum oleo lilino, venuſtiores fieri: nec vllo medicamento lædi poſſe, ſi quis appenſum geſtet.

Catanáce. Cap.CXXXIIII.

Ex eo genere vna,folia coronopi habet longa,radicé iunci modo prætenuem:capitula ſena,ſeptenáve,in quib⁹ erui ſemen ineſt. Areſcens in terram flectitur,& ſe contrahit ad ſpeciem vnguium milui exanimati.Altera mali parui magnitudiné explet,radice exiguæ oliuæ magnitudine:foliis quoque oliuæ colore, & figura, mollibus, diuiſis,humi inclinatis:ſemen, vt cicer,minutum,in virgulis dependet, punicei coloris,multis foraminibus pertuſum.Vtráque narrant in amatoria expeti.Theſſalicæ mulieres his vti traduntur.

Tripolion. Cap. CXXXV.

Tripolion in marinis naſcitur locis, quæ allidit vnda, recedénsque dimittit , neque in mari, neque in ſicco : folio

ἔνιοι δὲ καὶ ταύτην λυχνίδα ἀγρίαν ἐκάλεσαν, πόα ἐστὶν ἐμφερὴς ἀναγαλλίδος φύλλοις καὶ καυλῷ· τὰ δὲ ἄνθη πορφυρᾶ, ὅμοια λευκοΐῳ. μικρότερα δὲ, διὸ καὶ ἀγρία λυχνὶς ἐκλήθη· καρπὸν δὲ φέρει μόσχου ῥισὶν ὅμοιον, ῥᾷστον ἰδεῖν. ἱστορεῖται δὲ τοῦτο ἀντιπαθὲς εἶναι φαρμάκοις περιαπτόμενον· ἐπιχαρίν τε ποιεῖν ἀλειφόμενον σὺν ἐλαίῳ κρινίνῳ, ἢ κυπρίνῳ.

Περὶ Καταναγκης. Κεφ. ρλδ΄.

Καταναγκη, ἡ μέν τις αὐτῆς ἔχει φύλλα μακρὰ ὡς κορωνόποδος, ῥίζαν λεπτὴν, σχοινώδη· κεφαλὰς δὲ ϛ΄, ἢ ζ΄. ἐν αἷς καρπὸς ὅμοιος ὀρόβῳ· κάμπτεται δὲ ξηραινόμενος ἐπὶ τὴν γῆν, καὶ ἰκτίνου ὄνυξιν ὁμοιοῦται νεκροῦ. Τὸ δὲ ἕτερον μήλου μέγεθος ἔχει μικροῦ· ῥίζαν δὲ μικρὰν ὅσον ἐλαία· τὰ δὲ φύλλα σχήματι καὶ χροιᾷ ἐοικότα ἐλαίᾳ, μαλακὰ δὲ ἐπὶ γῆς ἐστρωμένα καὶ ἐπεσχισμένα· καρπὸν ἐπὶ ῥαβδίοις μικρόν. τετρημένον κατὰ πολλὰ μέρη ὡς ἐρέβινθον φοινικοῦν· ἀμφοτέρας δὲ ἱστοροῦσι τινὲς εἰς φίλτρα ἁρμόζειν. χρῆσθαι δὲ λέγουσιν αὐταῖς τὰς Θεσσαλὰς γυναῖκας.

Περὶ Τριπολίου. Κεφ. ρλε΄.

Τριπόλιον φύεται ἐν παραθαλασσίοις τόποις οὓς ἐπικλύζει ἡ θάλασσα καὶ ὑποχωρεῖ, οὔτε δὲ ἐν ξηρᾷ, οὔτε ἐν θαλάσσῃ· φύλλα

δὲ ἔχει ἰσάτῃ παραπλήσια, παχύτερα μὲν τοι· καυλὸν σπιθαμιαῖον ἄνωθεν ἐπεσχισμένον. ταύτης ἰσορεῖται τὸ ἄνθος τρεῖς τῆς ἡμέρας μεταβάλλειν τὸ χρῶμα, περὶ μὲν λευκόν, κατὰ δὲ τὴν μεσημβρίαν πορφυρίζον, ὀψὲ δὲ φοινικοῦν· ῥίζα λευκή, εὐώδης, θερμαντικὴ γευομένῳ. ἥ τις πινομένη ἐν οἴνῳ < β. πλῆθος, κατὰ κοιλίας ὕδωρ ἄγει καὶ οὖρα. τέμνεται δὲ καὶ εἰς ἀλεξιφάρμακα.

Περὶ Ἀδιάντου. Κεφ. ρλϛʹ.

Ἀδίαντον, οἱ δὲ, πολύτριχον, φυλλάρια ἔχει κοριάνδρῳ ὅμοια, ἐπεσχισμένα ἐπ' ἄκρου· τὰ δὲ καυλία ἐφ' ὧν ἐκπέφυκε μέλανα, ἰσχυρῶς λεπτὰ, σπιθαμιαῖα, στίλβοντα· φύλλα ὅμοια πτερειδῆ, μικρὰ λίαν· οὔτε δὲ καυλὸν, οὔτε ἄνθος, οὔτε καρπὸν φέρει. ῥίζα ἄχρηστος. Δύναται δὲ τὸ ἀφέψημα τῆς πόας πινόμενον, βοηθεῖν ἀσθματικοῖς, δυσπνοϊκοῖς, ἰκτερικοῖς, σπληνικοῖς, δυσουροῦσι· θρύπτει δὲ καὶ λίθους, καὶ κοιλίαν ἵστησι, καὶ θηριοδήκτοις βοηθεῖ· καὶ στομάχου ῥεύματι σὺν οἴνῳ πινόμενον· ἄγει δὲ καὶ ἔμμηνα καὶ λόχια· ἵστησι δὲ καὶ αἵματος ἀναγωγήν· καταπλάττεται δὲ καὶ πρὸς θηριόδηκτα ὠμὴ, καὶ ἀλωπεκίας δασύνει, χοιράδας σκορπίζει· ἀποσμᾷ πίτυρα καὶ ἀχῶρας σὺν κονίᾳ· σὺν λαδάνῳ δὲ καὶ μυρσίνῳ,

καὶ

glaſti craſsiore: palmeo caule, in mucrone diuiſo. Eius, vt tradunt, flores colorem ter die mutant, mane candidi, meridie purpurei, ſero punicei cōſpiciuntur. Radice alba, odorata, calidi guſtus. Quæ drachmis duabus in vino pota, aquā, vrinámque per aluum extrahit. In medicamenta digeritur, quæ venena arcent.

Adiantũ. Cap. CXXXVI.

Adianton, polytrichon, puſilla gerit folia, ſimilia coriandri, in ſummo inciſuris diuiſa, cauliculi, quibus exoriuntur, nigro colore nitent, prætenues, palmum alti: radice ſuperuacua: neque caulem, neque fructũ, neque florem profert. Decoctum herbæ potum, prodeſt ſpirandi difficultati, ſuſpirioſis, lieni, & felle ſuffuſis, & vrinæ difficili. Calculos frangit, aluum ſiſtit, ſerpentium morſibus auxilio eſt. Cōtra ſtomachi fluxiones in vino bibitur. Secundas ciet & menſtrua, ſanguinis reiectiones inhibet. Cōtra ſerpētiũ morſus cruda herba illinitur, alopecias dēſat, ſtrumas diſcutit: furfures et manātia capitis vlcera, ex lixiuio emēdat: defluētes capillos continet, cum ladano & myrtino,

&

& ſuſino aut hyſſopo, vinóque. Decoctum eius cum lixiuio & vino infuſum, idem præſtat: coturnices & gallinaceos pugnaciores facit, in cibos eorum additum. Seritur gratia vtilitatis pecorum, circa ouilia. Vmbroſis, & paluſtribus, circa parietũ aſpergines, & fontiũ ſpecus enaſcitur.

Trichomanes.

Cap. CXXXVII.

Trichomanes naſcitur eiſdem in locis quibus adiãton: filici ſimile, ſed exilius: foliis lẽticulæ, tenuibus, in ordinem vtrinq; digeſtis, aduerſis in ſe, in ramulis tenuib⁹, acerbis, fuſco colore ſplendentibus. Eadem quæ & adianton præſtare poſſe conſtat.

Xanthium ſiue lappa.

Cap. CXXXVIII.

Xanthium, alij phaſganon, alij antitheſion, alij chaſcanon, alij chœradolethron, alij & aparinem ipſam vocant, naſcitur læto, & pingui ſolo, & lacubus exiccatis, caule cubitali, anguloſo, pingui, prodeuntibus ex eo crebris alis: folia atriplicis habet, inſecta, naſturtium odore imitantia: fructum grandis oliuæ modo, rotundum, & vt platani pilula, ſpinoſum,

καὶ σουσίνῳ ἢ καὶ ὑσσώπῳ καὶ οἴνῳ βήχας ῥεούσας παρακρατεῖ. καὶ τὸ ἀφέψημα δὲ αὐτοῦ σὺν κονίᾳ καὶ οἴνῳ περιχεόμενον ποιεῖ καὶ τοὺς ἀλεκτρυόνας καὶ τοὺς ὄρτυγας μαχιμωτέρους μιγνύμενον τῇ τροφῇ· φυτεύεται δὲ ἐπ' ὠφελείᾳ προβάτων ἐν ταῖς μάνδραις· φύεται δὲ ἐν παλισκίοις καὶ ἑλώδεσι τόποις καὶ τοίχοις ἐνίκμοις καὶ περὶ τὰς κρήνας.

Περὶ Τριχομανοῦς.

Κεφ. ρλζʹ.

Τριχομανὲς, οἱ δὲ, καὶ τοῦτο ἀδίαντον καλοῦσι, φύεται κατὰ τοὺς αὐτοὺς τόπους, ὅμοιον πτερίδι, μικρὸν λείαν· στοιχηδὸν ἐξ ἑκατέρου μέρους τὰ φύλλα ἔχον λεπτὰ, φακοειδῆ ἐναντία ἀλλήλοις, ἐπὶ ῥαβδίων λεπτῶν καὶ στιλπνῶν καὶ στρυφνῶν, ὑπομελάνων. δοκεῖ δὲ τὰ αὐτὰ δύνασθαι τῷ προειρημένῳ.

Περὶ Ξανθίου. Κεφ. ρλη.

Ξάνθιον, οἱ δὲ φάσγανον, οἱ δὲ ἀντιθέσιον, οἱ δὲ χάσκανον. οἱ δὲ, χοιραδόλεθρον, οἱ δὲ, καὶ ταύτην ἀπαρίνην καλοῦσι, φύεται ἐν εὐγείοις τόποις καὶ λίμναις ἀναξηραμμέναις, καυλὸν ἔχει πηχυαῖον, λιπαρὸν, γωνιώδη, καὶ ἐπ' αὐτοῦ μασχάλας πλείονας, ἀτραφάξει δὲ τὰ φύλλα ἐμφερῆ ἔχει, ἐντομὰς ἔχοντα· καρδάμῳ δὲ τὴν ὀσμὴν παραπλήσια· καρπὸν δὲ στρογγύλον ὡς ἐλαίαν μεγάλην ἀκανθώδη ὡς πλατάνου σφαίρας, ἀντιλαμβανόμενον τῶν ἱματίων μετὰ τὴν ψαῦσιν. Δύναται δὲ ὁ καρπὸς πρὶν τελείως ξηρανθῆναι, συλλεγεὶς καὶ κοπεὶς καὶ ἀποτεθεὶς εἰς κεραμεοῦν ἀγγεῖον ξανθὰς τρίχας ποιεῖν. ἐάν τις ἐπὶ τῆς χρήσεως λαβὼν τρυβλίου πλῆθος ἐξ αὐτοῦ, διείς τε ὕδατι χλιαρῷ, καὶ προεκνιτρώσας τὴν κεφαλὴν καταπλάσῃ. τινὲς δὲ καὶ μετ᾽ οἴνου κόψαντες αὐτὸ, ἀποτίθενται· καταπλάττεται δὲ, καὶ πρὸς οἰδήματα ὁ καρπὸς ἐπιτηδείως.

Περὶ Αἰγίλωπος. Κεφ. ρλθʹ.

Αἰγίλωψ βοτάνιον ἐστὶ φύλλα πυρῷ ἔχον ὅμοια, μαλακώτερα δὲ, ἐπ᾽ ἄκρας δὲ τῆς κεφαλῆς, καρποὺς ἔχον βʹ ἢ γʹ. ἐρυθροὺς, ἐφ᾽ ὧν ἀθέρες οἱονεὶ τρίχες ἐκπεφύκασι. θεραπεύει δὲ ἡ πόα μετὰ ἀλεύρου καταπλασθεῖσα αἰγιλώπια, καὶ σκληρίας διαφορεῖ. ἀποτίθεται δὲ ὁ χυλὸς πρὸς τὰ αὐτὰ μιγεὶς ἀλεύρῳ καὶ ξηρανθείς.

Περὶ Βρώμου. Κεφ. ρμ.

Βρῶμος πόα ἐστὶν αἰγίλωπι ἐμφερής. Δύναμιν ἔχουσα ἐπιξηραντικὴν, ἀφεψηθεῖσαν οὖν σὺν ταῖς ῥίζαις μεθ᾽ ὕδατος, ἕως ἀποτριτωθῇ τὸ ἀπόζεμα, διυλίζων αὐτὸ ἐπιμίσγε μέλι τοσοῦτον, καὶ ἕψε μέχρις ἂν γένηται πάχος ὑγροῦ μέλιτος. καὶ ποιεῖ ἐπὶ τῶν ὀζαινικῶν, εἰ βρέχων ὀθόνιον προστίθης τῷ μυκτῆρι, καὶ καθ᾽ ἑαυτὸ μέν τοι ποιεῖ οὕτως·

ſpinoſum, qui contactu veſtibus adhæreſcit. Is antè collectus quàm perfectè ſicceſcat, tunditur, & fictili vaſe reconditur. Flauos autem facit capillos, ſi acetabili inſtar tepida aqua madeſcat, mox caput, nitro antè perfrictum illinatur. Alij in vino tundunt, & ita aſſeruant.

Semen aptiſsimè tumoribus imponitur.

Ægilops ſiue feſtuca. Cap. CXXXIX.

Ægilops herbula folia tritici habens, ſed molliora, in ſummo capite ſemina bina ternáve rubra, quibus ariſtæ quaſi capillaceæ exeunt. Illita cũ farina herba ægilopiis medetur, duritias diſcutit. Succus farinæ admixtus, ſiccatur, & eorundẽ gratia reponitur.

Bromus. Cap. CXL.

Bromus herba ægilopi ſimilis, exiccatoriam vim habens, decoquitur cum ſua radice in aqua ad tertias, & iuri colato par modus mellis adiicitur: rurſus incoquitur, dũ liquidi mellis craſsitudo fiat. Linteum eo humore imbutum, & naribus inditum, contra graueolentiam vlcerum efficax eſt.

Universitäts- und
Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0513-4
DFG

Aliqui tritam aloën addunt, & eo modo vtuntur. Cum ſiccis roſis cocta in vino, grauem oris halitum emendat.

Glaux. Cap. CXLI.

Glaux cytiſo aut lẽticulæ foliis ſimilis, quæ supernè virent, auerſaq; candidiora ſpectãtur: ramuli à terra exiliunt quini ſeníve, tenues ab radice, dodrãtem alti: flores violæ albæ, purpurei exeunt, minores tamen: naſcitur iuxta mare. Coquitur cum hordeacea farina, ſale, & oleo in ſorbitione, ad reuocãdam extincti lactis vbertatẽ.

Polygala. Cap. CXLII.

Polygala palmi altitudinem petit, foliis lenticulæ, guſtu adſtricto. Quæ pota, lactis abundatinam facit.

Oſyris. Cap. CXLIII.

Oſyris, frutex eſt niger: ramulos ferens tenues, lentos, fractúq; contumaces: & in his folia, quaterna, quina, ſenáve, ceu lini, nigra in initio, dein colore mutato rubeſcẽtia. Decoctum eius potum, iuuat arquatos.

Aſpera ſmilax. Ca. CXLIIII.

Smilax aſpera folia habet periclymeni, ſarmẽta tenuia, multa rubi modo aut paliuri aculeata: arbores ſcãdit ab imo ad ſũma perreptãs, ſe cõuoluẽs eis.

Fert

ἔνιοι δὲ ἀλόην λειώσαντες παραμίσγουσι, καὶ οὕτω χρῶνται. ποιεῖ δὲ καὶ μετὰ ῥόδων ξηρῶν ἀφεψηθεὶς σὺν οἴνῳ πρὸς τὰς τοῦ στόματος δυσωδίας.

Περὶ Γλαυκός. Κεφ. ρμα΄.

Γλαὺξ κυτίσῳ ἢ φακῷ τὰ φύλλα ἔοικεν, ὧν τὰ κάτωθεν λευκότερα, ἄνωθεν δὲ χλωρά· κλωνία δὲ ἀπὸ γῆς ἀνίησι πέντε ἢ ς΄. λεπτά, σπιθαμιαῖα ἀπὸ τῆς ῥίζης· ἄνθη λευκοΐας ὅμοια, μικρότερα δὲ πορφυρᾶ· φύεται παρὰ θάλατταν. αὕτη ἑψομένη μετὰ ἀλεύρου κριθίνου καὶ ἁλὸς καὶ ἐλαίου, καὶ ῥοφηθεῖσα, γάλα σβεννύμενον ἀνακαλεῖται.

Περὶ πολυγάλου. Κεφ. ρμβ΄.

Πολύγαλον θαμνίον ἐστὶ σπιθαμιαῖον, ἔχον φύλλα φακοειδῆ, γεύσει ὑπόστρυφνον· ποθὲν δὲ καὶ τοῦτο, γάλα δοκεῖ πλεῖον ποιεῖν.

Περὶ Ὀσύριδος. Κεφ. ρμγ΄.

Οσυρις φρυγάνιον μέλαν, λεπτόραβδον, δύσθραυστον, καὶ περὶ αὐτὸ φυλλάρια γ΄. ἔστι δὲ καὶ δ΄. ἢ ε΄. ἢ ς΄. αὐτοῦ ὥσπερ λίνου μέλανα κατ᾽ ἀρχάς· μεταβαλλόμενα δὲ ὑπέρυθρα γίνονται. ταύτης τὸ ἀφέψημα πινόμενον ἰκτέρῳ βοηθεῖ.

Περὶ σμίλακος τραχείας. Κε. ρμδ΄.

Σμίλαξ τραχεῖα, τὰ μὲν φύλλα ἔχει περικλυμένῳ ὅμοια, καὶ κλήματα πολλά, λεπτά, ἀκανθώδη ὡς παλίουρος ἢ βάτος. ἑλίσσεταί τε περὶ τὰ δένδρα ὡς ἄνω καὶ κάτω νεμομένη.

νεμομένη· καρπὸν δὲ φέρει βοτρυώδη ὡς ἐπιφυλλίδα πεπανθέντα δ' ἐρυθρὸν, ὑποδάκνοντα ἠρέμα ἐν τῇ γεύσει· ῥίζαν σκληρὰν, παχεῖαν· φύεται ἐν τόποις ἑλώδεσι καὶ τραχέσι. Ταύτης τὰ φύλλα καὶ ὁ καρπὸς θανασίμων ἐστὶν ἀντίδοτος, προπινόμενα, καὶ ἐπιπινόμενα. παραδέδοται ὅτι ἐάν τις ἀρτιγενεῖ παιδίῳ τρίψας τί τούτων δῷ πιεῖν. ὑπ' οὐδενὸς δηλητηρίου φαρμάκου βλαβήσεται. τέμνεται δὲ καὶ εἰς ἀλεξιφάρμακα.

Περὶ Σμίλακος λείας.

Κεφ. ρμέ.

Σμίλαξ λεία, ὅμοια κισσῷ τὰ φύλλα ἔχει, μαλακώτερα δὲ καὶ λειότερα καὶ λεπτότερα· τὰ δὲ κλήματα ὥσπερ ἡ πρὸ αὐτῆς ἀκάνθας οὐκ ἔχοντα· ἑλίττεται δὲ περὶ τὰ δένδρα. ὡς ἡ προτέρα· καρπὸν δὲ ἔχει ὥσπερ θέρμου μέλανα, μικρόν· ἀεὶ δὲ ἐπάνω ἔχοντα ἄνθη λευκὰ πολλά. κατὰ πᾶσαν τὴν σμίλακα καὶ περιφερῆ, καὶ σκηναὶ δι' αὐτῆς γίνονται τοῦ θέρους· φυλλορροεῖ δὲ τῷ φθινοπώρῳ. Τούτου ὁ καρπὸς μετὰ δορυκνίου πινόμενος, τριωβόλου ὁλκὴ ἑκάτερον ἐνύπνια πολλὰ, καὶ ταραχώδη ὁρᾶν ἱστορεῖται.

Περὶ Μυρσίνης ἀγρίας.

Κεφ. ρμς'.

*Μυρσίνη ἀγρία, τὸ μὲν φύλλον μυρσίνῃ ἔχει ὅμοιον, πλατύτε-

Fert racemos exiles, qui maturi rubeſcunt, guſtúmque leniter mordent. Naſcitur in paluſtribus & aſperis: radice dura, craſſáque. Folia & acini, & antè & poſt epoti, venenorum antidota ſunt. Tradũt, ſi infantibus nuper in lucẽ æditis, quid ex his trium propinetur, nulla poſtmodum venena nocitura. Inciditur etiam ad alexipharmaca, id eſt, ad ea medicamẽta quibus venena arcentur.

Læuis ſmilax.

Cap. CXLV.

Læuis ſmilacis folia hederæ ſimilitudinem habent, molliora, læuiora, tenuiora: huius ſarmenta nullis horrent ſpinis: cõuoluitur arborib⁹ vt prior: fructũ parit lupini modo nigrũ, exiguum: flores circunquaque exiliunt candidi, copioſi, orbiculati. Hac ſmilace, quadam topiariorum arte, tentoria contra æſtus moleſtiam factitantur: folia per autumnum decidua. Semine cũ dorycnio poto, ternis ſingulorũ obolis, varia & tumultuoſa in ſomnis obſeruari traduntur.

Ruſcus.

Cap. CXLVI.

Syluestris myrtus, aliquibus oxymyrſine, aut myrtacãtha.

Latinis ruſcum appellatur: folium fert myrti, latius, in formã lanceæ mucronatũ: baccæ per maturitatẽ rubeſcũt, rotundæ, à medio folio depẽdentes, oſſeo intus nucleo: cubitales ramuli ab radice exeunt, vitilium modo lenti, fractu cõtumaces, folioſi: radice graminis ſimili, acerba, & ſubamara. Folia & baccæ in vino potæ vrinã ciẽt, menſes pellunt, veſicæ calculos frangunt, ſtillicidio vrinæ medentur, dolores capitis ſanant, & regium morbũ. In aſperis & præcipitibus locis enaſcit̃. Decoctum radicis in vino potũ, eoſdem præbet effectus. Cauliculi recẽtes, aſparagorũ vice, in cibo ſumũtur. Amari autem ſunt, ſed vrinam mouent.

Laurus Alexandrina.
Cap. CXLVII.

Laurus Alexandrina, folio eſt ruſci maiore, molliore, & candidiore: ſemine inter folia rubro, ciceris magnitudine: ramos ſpargit in terra dodrãtales, interdum longiores: radice ſyluestri myrto ſimili, maiore, molliore, odorata: inuenitur in montoſis. Difficiles partus accelerat, radice pota ſex drachmarum põdere in vino dulci:

&

ερον δὲ, λογχοειδὲς, ὀξὺ ἐπ' ἄκρου· τὸν δὲ καρπὸν στρογγύλον, ἐν μέσῳ δὲ τῷ πετάλῳ περιφερῆ, ἐρυθρὸν ἐν τῷ πεπαίνεσθαι, ἔχοντα τὸ ἐντὸς ὀστῶδες· κλωνία λυγοειδῆ πολλὰ ἐκ τῆς ῥίζης αὐτῆς δύσθραυστα. ὅσον πήχεως, φύλλων μεστά· ῥίζαν παραπλησίαν ἀγρώστει, γευομένῳ στρυφνὴν, ὑπόπικρον. Δύναμιν δὲ ἔχει τὰ φύλλα καὶ ὁ καρπὸς ἐν οἴνῳ πινόμενα, οὖρα κινεῖν, καταμήνια ἄγειν, καὶ λίθους τοὺς ἐν κύστει θρύπτειν· θεραπεύει δὲ καὶ ἴκτερον καὶ στραγγουρίαν, καὶ κεφαλαλγίαν· φύεται ἐν τραχέσι τόποις καὶ κρημνώδεσι. καὶ τὸ ἀφέψημα δὲ τῆς ῥίζης σὺν οἴνῳ ποθὲν, τὰ αὐτὰ ποιεῖ. καὶ αὐτὶ ἀσπαράγου δὲ οἱ καυλοὶ νεόθαλεῖς λαχανευόμενοι ἐσθίονται. εἰσὶ δὲ ἔμπικροι καὶ διουρητικοί.

Περὶ Δάφνης. Κεφ. ρμζ'.

Δάφνη ἀλεξάνδρεια, οἱ δὲ ἰδαία, οἱ δὲ δανάη, οἱ δὲ ὑπόγλωττον, οἱ δὲ ζάλρα, οἱ δὲ στεφάνη, φύλλα ὀξυμυρσίνῃ ὅμοια ἔχει, μείζονα δὲ καὶ μαλακώτερα, καὶ λευκότερα· καρπὸν δὲ ἐν μέσοις ἐρυθρὸν ἐρεβίνθου τὸ μέγεθος· κλῶνας ἐπὶ γῆς σπιθαμιαίους ἢ καὶ μείζονας· ῥίζαν παραπλησίαν τῇ ὀξυμυρσίνῃ, μείζονα δὲ καὶ εὐώδη καὶ μαλακωτέραν· φύεται ἐν τόποις ὀρεινοῖς. Δύναμιν δὲ ἔχει ἡ ῥίζα πινομένη < ϛ'. πλῆθος μετ' οἴνου γλυκέος, βοηθεῖν ταῖς δυστοκούσαις ϗ στραγγουριῶσιν. ἄγει δὲ ϗ αἷμα.

Περὶ Δαφνοειδοῦς. Κεφ. ρμή.

Δαφνοειδὲς, οἱ δὲ εὐπέταλον, οἱ δὲ χαμαιδάφνην, οἱ δὲ πέπλιον καλοῦσι, θαμνίσκος ἐστὶ πηχυαῖος, κλάδους πολλοὺς ἔχων ἱμαντώδεις πρὸς τὸ ἄνωθεν ἥμισυ, φυλλοφόρους· φλοιὸς δὲ περὶ τὰς ῥάβδοις γλίσχρος ἰσχυρῶς· φύλλα δάφνῃ ἐοικότα, μαλακώτερα δὲ ϗ ἰσχνότερα καὶ οὐκ εὔκλαστα, δάκνοντα καὶ πυροῦντα τὸ στόμα καὶ φάρυγγα· ἄνθη λευκά· καρπὸν μέλανα, ὅταν πεπανθῇ· ῥίζα ἄχρηστος· φύεται ἐν ὀρεινοῖς τόποις· ἄγει δὲ καὶ τὸ φύλλον αὐτοῦ ξηρὸν ἢ νεαρὸν ποθὲν κατὰ κοιλίαν φλεγματώδη, κινεῖ ϗ ἐμέτους ϗ ἔμμηνα· ϗ διαμασσηθὲν ἀποφλεγματίζει· ἔστι δὲ ϗ πταρμικόν· καθαίρει δὲ καὶ ὁ καρπὸς αὐτοῦ ὅσον κόκκοι ιέ πινόμενοι.

Περὶ Χαμαιδάφνης. Κεφ. ρμθ΄.

Χαμαιδάφνη, οἱ δὲ ϗ ταύτην ἀλεξάνδρειαν ἐκάλεσαν, ῥάβδοις ἀνίησι πηχυαίους, ὀρθὰς, λεπτὰς ϗ λείας· ϗ ταύτης δὲ τὰ φύλλα ὅμοια δάφνῃ, λειότερα δὲ πολλῷ ϗ χλωρότερα· καρπὸν δὲ περιφερῆ, ἐρυθρὸν, τοῖς φύλλοις ἐμπεφυκότα. Ταύτης τὰ φύλλα λεῖα καταπλασθέντα, κεφαλαλγίαις ϗ στομάχου ἐκκαύσεσιν ἀρήγει· ποθέντα δὲ μετ' οἴνου στρόφοις παύει· ὁ δὲ

& ſtillicidio vrinæ auxiliatur, ſed ſanguinem extrahit.

Daphnoides.
Cap. CXLVIII.

Daphnoides cubiti altitudine fruticat, ramis flexilibus obſequioſisque, multis, inde surſum verſus folioſis: cortex ſupra modū viſcoſus ramos veſtit: folia lauri, graciliora, & molliora, fractu contumacia, quorum guſtatu os & fauces incenduntnr: flores candidi: bacca, cum ematuruit, nigra: radix inutilis: naſcitur in montoſis. Pituitas extrahit foliū recens vel aridum in potu, menſes ciet & vomitus: caput inanit commanducatum, ſternutaméta mouet. Baccę quindecim potæ aluum reſoluunt.

Chamædaphne.
Cap. CXLIX.

Chamædaphne virgas emittit cubitales, ſingulari ramulo conſtātes, rectas, tenues, læues: folia lauri ſimilitudine, læuiora multò, ac viridiora: ſemen rotundum, rubens, annexum foliis. Illinuntur capitis doloribus trita folia, & ſtomachi ardores mulcent: ad ſedanda tormina cū vino bibuntur.

Potus cum vino ſuccus, menſes & vrinam ciet: idem facit peſſo appoſitus.

Veratrum album.

Cap. CL.

Helleborum album, Latini veratrum album vocãt, fert folia plantaginis aut betæ ſylueſtris ſimilia, ſed breuiora, & nigriora, rubeſcentia: caulem cauum, quadrantalem, tunicis cõuolutum quas abdicat cum areſcere incipit: radicib⁹ nititur multis, tenuibus, ab oblõgo & exiguo capite ceparum modo exeuntibus: naſcitur in montibus & aſperis. Radices meſsibus colligendę. Optimũ habetur candidum, friabile, carnoſum, modicè extentum, nec tamen iunci modo mucronatũ, quod frangẽdo puluerẽ emittit, & tenuẽ habet medullã, guſtu non admodũ feruens, neq; ſaliuã ſubinde ciens (huiuſcemodi autẽ ſtrangulat.) Primatum Cyrenaicum tenet. Galaticum autẽ & Cappadocicum, candidiora, & puluere quodã obſita, celerius ſtrãgulatus mouent. Vomitione autem varios extrahit humores. Collyriis admiſcetur, quæ caliginem oculorum diſcutiunt. Partus impoſitum necant, menſes pellit, ſter-

ὁ δὲ χυλὸς σὺν οἴνῳ ποτιζόμενος καταμήνια καὶ οὖρα ἄγει καὶ ἐν πεσσῷ προστεθεὶς τὸ αὐτὸ ποιεῖ.

Περὶ Ἐλλεβόρου λευκοῦ.

Κεφ. ρν'.

Ἐλλέβορος λευκὸς φύλλα ἔχει ὅμοια τοῖς τοῦ ἀρνογλώσσου, ἢ σεύτλου ἀγρίου, βραχύτερα δὲ καὶ μελάντερα καὶ ἐρυθρὰ τὴν χρόαν· καυλὸν δὲ παλαιστιαῖον, κοῖλον, περιφλοιζόμενον ὅτε ἄρξεται ξηραίνεσθαι· ῥίζαι δ' ὕπεισι πολλαὶ, λεπταὶ, ἀπὸ κεφαλίου μικροῦ καὶ ἐπιμήκους, ὥσπερεὶ κρομμύου συμπεφυκυῖαι· φύεται ἐν ὀρεινοῖς τόποις καὶ τραχέσι. Συλλέγειν δὲ δεῖ τὰς ῥίζας περὶ τὸν πυραμητόν. ἄριστος δέ ἐστιν αὐτοῦ, ὁ μετρίως τεταμένος καὶ λευκὸς, καὶ * εὔθραυστος καὶ σαρκώδης, οὐκ ἀπόξυς δὲ καὶ σχοινώδης, ἢ χνοῦν ἀφιεὶς ἐν τῷ θραύεσθαι, ἔχων δὲ καὶ τὴν ἐντεριώνην λεπτὴν, ἐκ πυρῶν τὴν γεῦσιν οὐ λίαν, οὐδὲ ἀθρόως, σίελον ἐπισπώμενος, πνιγώδης γὰρ ὁ τοιοῦτος· πρωτεύει δὲ ὁ * κυρηναϊκός· ὁ δὲ γαλατικὸς καὶ καππαδοκικὸς, * λευκότεροι καὶ χνοώδεις καὶ πνιγωδέστεροι. Καθαίρει δὲ δι' ἐμέτων ἄγων ποικίλα. μίγνυται δὲ καὶ κολλυρίοις τοῖς δυναμένοις τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀποκαθαίρειν. καὶ ἔμμηνα ἄγει, καὶ ἔμβρυα κτείνει προστιθέμενος.

παρ-

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0518-3
DFG

πταρμούς τε ἐρεθίζει, καὶ μύας κτείνει σὺν μέλιτι καὶ ἀλφίτῳ φυραθεὶς, συγκαθεψόμενός τε κρέασι, συντήκει αὐτά. δίδοται δὲ νήστεσι καθ' ἑαυτὸν καὶ μετὰ σησάμου καὶ θαψίας χυλοῦ, ἢ ἄλικος, ἢ μελικράτου, ἢ πόλτου, ἢ φακοῦ ἢ ἄλλου ῥοφήματος. συσσιτοποιεῖται δὲ καὶ ἄρτῳ καὶ ὀπτᾶται. ἡ δὲ προαγωγὴ καὶ ἐπιδιαίτησις, ἐξείργασται παρὰ τοῖς προηγουμένως περὶ τῆς δόσεως αὐτῆς γράψασι, μάλιστα δὲ συγκατατιθέμεθα φιλωνίδῃ τῷ σικελῷ τῷ ἀπὸ ἔννης, μακρὸν γάρ ἐστιν ἐν ὕλης παραδόσει προηγουμένως θεραπευτικὴν ἐκτίθεσθαι ἀγωγήν. διδόασι δὲ ἔνιοι σὺν * πολλῷ ῥοφήματι ἢ χυλοῦ πλήθει, ἢ καὶ τροφὴν ὀλίγην προδιδόντες, ἐπιδιδόασι τὸν ἐλλέβορον εὐθέως, ἐφ' ὧν μάλιστα πνιγμὸς ὑποπτεύεται ἢ ἀσθένεια σώματος ὑπόκειται, ἀκίνδυνος γὰρ ἐπὶ τῶν οὕτω λαμβανόντων ἡ κάθαρσις· διὰ τὸ μὴ ἀκαίρως τὸ φάρμακον παρατίθεσθαι τοῖς σώμασι· καὶ βάλανοι δὲ ἐξ αὐτοῦ προστεθεῖσαι τῇ ἕδρᾳ μετ' ὄξους, ἐμέτοις κινοῦσιν·

Περὶ Ἐλλεβόρου μέλανος.

Κεφ. ρνά.

Ἐλλέβορος μέλας, οἱ δὲ μελαμπόδιον, οἱ δὲ ἔκτομον, οἱ δὲ πολύῤῥιζον, μελαμπόδιον δὲ λέγεται

ſternutamenta excitat, mures interficit cum melle & poléta ſubactũ, abſumit carnes ſi coquatur vná. Datur per ſe ieiunis, & cum ſeſama, aut ptiſanæ ſucco, aut halicæ, aut létis cremore, cũ aqua mulſa, aut pulte, aut quauis alia ſorbitione. Cogitur cũ pane, & ita inaſſatur. Præparatio corporũ, ac victus ratio, diligẽter tradita eſt, cum ab his qui de medica eius potione ſcriptitarũt, tum maximè à Philonide Siculo Ennéſi, cui nũc aſſentimur: quippe lógum nimis eſſet, in hac præſertim æditione de materia, ſimul medicã curandi rationẽ exponere. Dant nonnulli in pultis ſorbitione, aut copioſo halicæ cremore: aut paucũ antea cibum dari præcipientes, ſtatim veratrũ offerunt, iis pręſertim, quibus ſtrágulationis ſuſpicio imminet, aut ſi valetudo corpꝰ infirmat: hoc enim modo deiectio nihil periculi minatur, ꝙ cibo munitis nõ intempeſtiuè medicamentũ corporibus offeratur. Vomitiones concitant ſubditę ex eo balani, cũ aceto.

Veratrum nigrum.

Cap. CLI.

Helleborũ nigrũ, appellatur melampodion, quoniam caprarũ paſtor, nomine Melampus, furétes in ſe prœtidas, primus purgaſſe, & ſanaſſe fertur. Folia ei viridia, platani ſimilia, minora, foliis ſphondylij proxima, ſubaſpera, nigriora, plurib⁹ diuiſuris inciſa: caulis aſper: flores purpurei, candidi racematim cohęrentes: ſemen cnici, quod in Anticyra ſeſamoides vocant: quo deiectiones moliuntur: radicibus cohæret nigris, tenuibus, à capitulo, cepæ ſimili confibratis: quarũ eſt vſus: in collibus, aſperis, & ſitientibus locis enaſcitur. Optimum eſt quod ex huiuſmodi petitur terris, vt ex Anticyra. Nigrum inibi probatiſsimum gignitur. Eligi debet corpulentum & plenum, in quo tenuis ſit medulla, acre guſtu, feruénſque: cuiuſmodi eſt in Helicone, Parnaſo, & Ætolia natum: attamẽ Heliconium præcellit. Veratrum nigrum purgat ventrem, detrahit bilem pituitasq́; datum per ſe, aut cum ſcammonia, & tribus obolis, ſiue drachma ſalis: decoquitur vel cũ lente & iuſculis, quæ purgationis cauſa ſumptitantur. Prodeſt morbis comitialibus, melancholicis, inſanientibus, articulariis doloribus, & reſolutis.

Menſes

γεται, ἐπειδὴ δοκεῖ μελάμπους τὶς αἰπόλος τὰς προίτου θυγατέρας, μανείσας ἐν αὐτῷ καθάραι πρῶτος καὶ θεραπεῦσαι. ἔχει δὲ τὰ φύλλα χλωρὰ, πλατάνῳ προσεμφερῆ, ἥττονα δὲ πρὸς τὰ τοῦ σπονδυλίου καὶ πολυσχιδέστερα καὶ μελάντερα καὶ ὑποτράχεα· καυλὸς τραχύς· ἄνθη δὲ λευκὰ, ἐμπόρφυρα, τῷ δὲ σχήματι βοτρυώδη· καὶ ἐν αὐτῷ καρπὸς κνίκῳ ὅμοιος, ὃν καὶ αὐτὸν καλοῦσιν οἱ ἐν ἀντικύρᾳ σησαμοειδῆ· χρώμενοι πρὸς τὰς καθάρσεις αὐτῷ· ῥίζαι δ' ὕπεισι λεπταὶ, μέλαιναι, οἱονεὶ ἀπό τινος κεφαλίου κρομμυώδους ἠρτημέναι, ὧν καὶ ἡ χρῆσις· φύεται ἐν τραχέσι καὶ γεωλόφοις καὶ καταξήροις τόποις. Καὶ ἄριστος ὁ ἐκ τῶν τοιούτων λαμβανόμενος χωρίων. οἷός ἐστιν ὁ ἐξ ἀντικύρας. καὶ γὰρ ὁ μέλας καὶ κάλλιστος ἐν αὐτῇ γεννᾶται. ἐκλέγου δὲ τὸν εὔσαρκον καὶ εὔτροφον, λεπτὴν ἔχοντα τὴν ἐντεριώνην, δριμὺν ἐν τῇ γεύσει καὶ πυρώδη. τοιοῦτος δέ ἐστιν ὁ ἐν τῷ ἑλικῶνι καὶ παρνασσῷ καὶ αἰτωλίᾳ φυόμενος· διαφέρει μέντοι ὁ ἑλικώνιος. Καθαίρει δὲ τὴν ἄνω κοιλίαν, ἄγων φλέγμα καὶ χολὴν, καθ' ἑαυτὸν ἢ μετὰ σκαμμωνίας διδόμενος, καὶ ἁλῶν < ά ἢ τριωβόλου ὁλκῆς· συνέψεται δὲ καὶ φακῇ, καὶ ζωμοῖς τοῖς εἰς κάθαρσιν λαμβανομένοις. ὠφελεῖ δὲ ἐπιληπτικοὺς, μελαγχολικοὺς, μαινομένους, ἀρθριτικοῖς, παραλελυμένοις.

προ-

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0520-2
DFG

προστεθεὶς δὲ, ἔμμηνα ἄγει, καὶ ἔμβρυα κτείνει, σύριγγάς τε καθαίρει κατατεθεὶς καὶ μετὰ τρίτην ἐξαιρεθείς. ὁμοίως καὶ ἐπὶ δυσηκοέντων καθίεται εἰς τὸ οὖς, ἐώμενος ἐπὶ β΄. ἢ γ΄ ἡμέρας. θεραπεύει δὲ καὶ ψώρας μετὰ λιβανωτοῦ ἢ κηροῦ καὶ πίσσης καὶ κεδρίνου ἐλαίου καταχριόμενος· μετ᾽ ὄξους δὲ καθ᾽ ἑαυτὸν καταπλασσόμενος, ἀλφοὺς καὶ λειχῆνας καὶ λέπρας θεραπεύει· ἑψηθεὶς δὲ σὺν ὄξει ὀδονταλγίας πραΰνει διακλυζόμενος· σηπταῖς τε μίγνυται· μετὰ δὲ κριθίνου ἀλεύρου καὶ οἴνου, κατάπλασμά ἐστιν ὑδρωπικοῖς ὠφέλιμον· συμφυτευθεὶς δὲ ἀμπέλοις πρὸς τῇ ῥίζῃ, τὸν ἐξ αὐτῶν οἶνον καθαρτικὸν ἐργάζεται. περιῤῥαίνουσι δὲ καὶ οἰκίαις αὐτὸν καθαρτικὸν εἶναι νομίζοντες· ὅθεν καὶ ὀρύσσοντες ἵστανται προσευχόμενοι ἀπόλλωνι καὶ ἀσκληπιῷ φυλαττόμενοι ἀετὸν, ἐφίπτασθαι γάρ φασιν οὐκ ἀκινδύνως· δίδωσι γὰρ θάνατον ὁ ὄρνις ἐὰν περιίδῃ τὴν ὀρυγὴν τοῦ ἐλλεβόρου. συντόμως δὲ δεῖ ὀρύττειν, διὰ τὸ καρηβαρείαν ἐκ τῆς ἀποφορᾶς γίνεσθαι· ὅθεν εἰς προφυλακὴν οἱ ὀρύττοντες, ἐσθίουσι σκόροδα, καὶ οἶνον πίνουσιν. ἀβλαβέστεροι γὰρ οὕτω διατίθενται. ἐξεντερίζεται δὲ ὥσπερ καὶ ὁ λευκὸς ἐλλέβορος.

Περὶ Ση-

Menſes inditum trahit, partus necat, purgat fiſtulas impoſitum, & tertia die detractum. Item contra grauitatem auditus in aurem demittitur, ibiq; in alterum aut etiam tertium diem eſſe ſinitur. Scabiem ſanat, illitum cum thure, aut cera, & pice, & cedrino oleo: vitiliginibus, lepris, impetiginibus, ex aceto medetur: dentium dolorem collutione mitigat: erodentibus medicamentis commiſcetur: hydropicorum ventri vtiliſsimè imponitur factũ ex eo, farina hordeacea, & vino, cataplaſma: conſitum proximè radices vitiũ, vinum purgãdi facultate donat. Huius reſparſu domos expiari arbitrãtur: quare inter fodiendum ſtantes, Apollinem, Æſculapiúmque precantur, ac vitãt aquilæ volatus, aduolare enim nõ ſine periculo tradunt: nanque ſi auis effoſsionem hellebori conſpexerit, moriturum qui ſuccidit, auguriũ eſt. Celeriter effodiatur oportet, quoniam halitu caput aggrauat: quapropter, ad id arcendũ, foſſuri, alliũ præſumere, & vinum bibere cõſueuerũt: nulli ita noxæ opportuni redduntur. Veratri albi modo emedullatur.

Seſa-

Seſamoides magnum.
Cap. CLII.

Seſamoides magnũ, in Anticyra helleborũ vocant, quoniam albo veratro in purgationibus miſceatur. Simile eſt ſenecioni aut rutæ: longo folio: flore candido: radice gracili, ignaua: ſemen guſtu amaro, cætera ſeſamæ ſimile. Ventrem detrahit: datur tritum ad bilis pituitæque deiectiones, quantum tribus digitis capitur, addito veratri albi ſeſquiobolo, ex aqua mulſa.

Seſamoides paruum.
Cap. CLIII.

Seſamoidi paruo cauliculi ſunt dodrantales: folia coronopi, minora, hirſutiora: & in cauliculorum cacumine capitula, florum penè purpureorum, medio eorum albo: ſemen ſeſamæ, fuluum, amarum: radix tenuis. Detrahit bilem pituitasque, ſemen ex aqua mulſa potum dimidio acetabulo: illitum ex aqua, tumores ac tubercula diſcutit. Naſcitur in aſperis.

Sylueſtris cucumer.
Cap. CLIIII.

Cucumis ſylueſtris fructu ſolo diſtat à ſatiuo cucumere, quem

Περὶ Σησαμοειδοῦς τοῦ μεγάλου. Κεφ. ρνβ΄.

Σησαμοειδὲς τὸ μέγα, ἐν Ἀντικύρᾳ ἐλλέβορον καλοῦσι, διὰ τὸ μίγνυσθαι ἐν ταῖς καθάρσεσι τῷ λευκῷ ἐλλεβόρῳ. ἔοικεν ἡ πόα ἠριγέροντι ἢ πηγάνῳ· φύλλα μακρά· ἄνθος λευκόν· ῥίζα ἰσχνὴ ἄπρακτος· σπέρμα ὅμοιον σησάμῳ, πικρὸν ἐν τῇ γεύσει. Ο καθαίρει * ἄνω φλέγμα τε καὶ χολὴν ὅσον τοῖς τρισὶ δακτύλοις λεῖον ληφθὲν μετὰ ἐλλεβόρου λευκοῦ τριῶν ἡμιωβόλων σὺν μελικράτῳ.

Περὶ Σησαμοειδοῦς τοῦ μικροῦ. Κεφ. ρνγ΄.

Σησαμοειδὲς τὸ μικρὸν καυλία ἐπὶ σπιθαμιαῖα ἔχοντα φύλλα κορωνόποδι ὅμοια, δασύτερα μέντοι καὶ μικρότερα· ἐπ' ἄκρου δὲ τῶν καυλίων κεφάλια ἀνθῶν ὑποπορφύρων, ὧν τὸ μέσον, λευκόν· ἐν οἷς σπέρμα σησάμῳ ἐοικὸς, πικρὸν, κιῤῥὸν· ῥίζα λεπτή. Καθαίρει * δὲ χολὴν καὶ φλέγμα κάτω ποθὲν τὸ σπέρμα, ὀξυβάφου ἥμισυ σὺν μελικράτῳ· καταπλασθὲν δὲ μεθ' ὕδατος, φύματα καὶ οἰδήματα διαφορεῖ. φύεται ἐν τραχέσι χωρίοις.

Περὶ Σίκυος ἀγρίου.
Κεφ. ρνδ΄.

Σίκυς ἄγριος τῷ καρπῷ μόνῳ διαφέρει τοῦ ἡμέρου σίκυος, ἐλάσσο-

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0522-3
DFG

ἐλάσσονα πολλῷ ἔχων βαλανείοις ἐπιμήκεσιν ἐοικότα· τὰ φύλλα καὶ τὰ κλήματα ἡμέρῳ ὅμοια· ῥίζαν δὲ λευκὴν καὶ μεγάλην· φύεται ἐν οἰκοπέδοις καὶ ἀμμώδεσι τόποις, ὅλος δὲ ὁ θάμνος πικρός. Αρμόζει δὲ ὁ τῶν φύλλων χυλὸς ἐνσταζόμενος ὠταλγίαις. ἡ δὲ ῥίζα καταπλασθεῖσα μετὰ ἀλφίτου πᾶν οἴδημα παλαιὸν διαφορεῖ· μετὰ ῥητίνης δὲ τερεβινθίνης ἐπιτεθεῖσα, φύματα ῥήσσει· μετ᾽ ὄξους δὲ ἑψηθεῖσα καὶ καταπλασθεῖσα, ποδάγρας διαφορεῖ· καὶ ἰσχιάδος δέ ἐστιν ἔγκλυσμα. καὶ ὀδονταλγίας διάκλυσμα τὸ ἀφέψημα. ξηρὰ δὲ λεία ἀλφοὺς, λέπρας καὶ λειχῆνας σμήχει· οὐλάς τε μελαίνας καὶ σπίλους τοὺς ἐν προσώπῳ ἀποκαθαίρει. καὶ ὁ χυλὸς δὲ τῆς ῥίζης, πλῆθος τριῶν ἡμιωβολίων τὸ ἐλάχιστον. καὶ ὁ φλοιὸς δὲ ὅσον τέταρτον ὀξυβάφου καθαίρει φλέγμα καὶ χολὴν, καὶ μάλιστα ἐπὶ ὑδρωπικῶν, δίχα δὲ τοῦ τὸν στόμαχον ἀδικεῖν ποιεῖται τὴν κάθαρσιν, δεῖ δὲ τῆς ῥίζης λαβόντα ἡμίλιτρον, μετὰ δυοῖν ξεστῶν οἴνου μάλιστα λιβυκοῦ λεαίνειν καὶ διδόναι ἐκ τούτου κυάθοις γʹ * ἕως ἂν ὁ ὄγκος ἱκανῶς συσταλῇ.

Περὶ Ἐλατηρίου. Κεφ. ρνέ.

Τὸ δὲ λεγόμενον ἐλατήριον, ἐκ τοῦ καρποῦ τῶν σικύων σκευάζεται τὸν

quem longè minorem parit, oblongis glandibus non diſſimilem : folia atque ſarmenta ſatiui refert : radice candida, magna : naſcitur in ſabuletis, & ruderibus, frutice in totum amaro. Inſtillatus foliorum ſuccus, aurium dolori conuenit. Illita ex polenta radix, veterem omnem tumorem diſcutit: impoſita cum reſina terebinthina, tubercula rumpit : iſchiadicis infunditur: podagras diſcutit, decocta ex aceto, & illita. Eius decocto dentes in dolore colluuntur. Aridæ farina impetiginem, lepras & vitiligines abſterget:nigris cicatricibus colorem reddit, & in facie maculas expurgat. Radicis ſuccus ſeſquioboli pondere, & item cortex, acetabuli quarta parte, bilem pituitamque deiiciunt, præſertim in hydropicis: (deiectiones autem circa ſtomachi iniuriam mouet) radicis ſelibra, in vini præſertim Libyci hemina conteritur, dantúrque ex eo terni cyathi triduo, dum tumor abunde deprimi cernatur.

Elaterium. Cap. CLV.

E fructu huiuſce cucumeris, fit medicamétũ qđ elateriũ vocatur,ad hũc

tur, ad hunc modum: Decerpti cucumeres, qui tacti protinus exiliunt, ſeruantur nocte vna: poſtridie impoſito ſupra craterem rariore cribro, vtriſque manibus pręhenſi, ſigillatim ſupino cultro, ſurſum verſus aciem habente, finduntur, atque per cribrum humor in ſubiectum vas exprimitur: ſimúlque carnoſum quod hæſit cribro, quò facilius excidat, eliditur: quod ita preſſum eſt, reſidere ſinitur, atque in vicinã peluim demittitur. Coaceruata autẽ in cribro ſegmina, dulci aqua perfunduntur, & denuò preſſa abiiciũtur. Humor in pelui agitatur, & linteo opert⁹, ſoli exponitur: dúmq; ſteterit, tota ſupernatans aqua cũ humore concreto, effunditur. Hoc verò idẽtidem fieri ſolet, donec exiſtens aqua liqueſcat: qua ſtillatim exhauſta, ſedimẽtũ mortario ſuſcipitur, & conterendo cogitur in paſtillos. Sunt qui ad hauriendam protinus ſucci abundantiã, cribratos cineres humi inſpargant, & medium cauantes, triplicatũ linteũ obtundant, per quod eleterium cum ſua humiditate diffundunt, ſiccatúmque, in pila, vt dictum eſt, conterunt.

τὸν τρόπον τοῦτον· τοὺς ἅμα τῷ ἅψασθαι σικύους ἀποπηδῶντας ἐκλέγων, ἀποτίθεσο, ἐῶν νύκτα· τῇ δὲ ὑστεραίᾳ ἐπὶ κρατῆρι κόσκινον μὴ πυκνὸν ἐπιθεὶς, καὶ μαχαίριον ὕπτιον ἁρμόσας, τὴν ἀκμὴν ἔχον ἄνω, λαμβάνων ἀμφοτέραις ταῖς χερσὶ καθ' ἕνα τῶν σικυῶν, διαίρει ϗ ἔκθλιβε διὰ τοῦ κοσκίνου τὸ ὑγρὸν εἰς τὴν ὑποκειμένην κρατηρίαν· προσεκθλίβων καὶ τὸ ἐν αὐτοῖς σαρκῶδες ὃ δὴ προσπίπτει τῷ κοσκίνῳ· ἵνα καὶ αὐτὸ διεκπίπτῃ· καὶ εἰς λεκάνην παρακειμένην τὰ ἐκθλιβόμενα βάλε. σωρεύσας δὲ τὰ τετμημένα ἐπὶ τοῦ κοσκίνου, ὕδατι γλυκεῖ περιχέας καὶ ἀποπιέσας, ταῦτα μὲν ῥίπτε. ταράξας δὲ τὸ ἐν τῇ λεκάνῃ ὑγρὸν ϗ σκεπάσας ὀθόνῃ, τίθεσο ἐν ἡλίῳ· ϗ ὅτε στῇ πᾶν τὸ ἐπινηχόμενον ὕδωρ μετὰ τοῦ ἐπιπάγου, ἀπόχει. ϗ τοῦτο ποίει πολλάκις ἄχρις οὗ καταστῇ τὸ ἐφιστάμενον ὕδωρ. ὃ γὰρ ἐκστραγγίσας ἐπιμελῶς, τὴν ὑποστάθμην βαλὼν εἰς θυίαν, λέαινε, καὶ ἀνάπλαττε τροχίσκοις. ἔνιοι δὲ πρὸς τὸ ταχέως ἀνικμασθῆναι τὸ ὑγρὸν, τέφραν σεσησμένην ἐπὶ γῆς καταστρώσαντες ϗ κοιλάναντες τὸ μέσον, ὀθόνιον διπλοῦν ἐπιθέντες, κατὰ τούτου τὸ ἐλατήριον σὺν τῇ ἰκμάδι ἐπιχέουσιν, ἀναξηρανθὲν, ἐν δὲ θυίᾳ λεαίνουσιν ὡς προείρηται.

ἔνιοι δὲ ἀντὶ τοῦ ὕδατος θάλατταν παραχέοντες, πλύνουσιν. οἱ δὲ, τῇ τελευταίᾳ πλύσει μελίκρατον παραχέουσι. δοκεῖ δὲ ἐλατήριον κάλλιστον εἶναι τὸ μετὰ τοῦ λευκοῦ ἢ συχῆ ἔνικμον, κοῦφον, λεῖον, πικρότατον τῇ γεύσει, καὶ προσαχθὲν λύχνῳ εὐκαές. τὸ μέντοι πρασίζον καὶ τραχὺ καὶ θολερὸν τῇ ὄψει, γέμον ὀροβίου καὶ τέφρας, βαρύ τέ ἐστι καὶ φαῦλον. ἔνιοι δὲ καὶ τῷ χυλῷ τοῦ συκύου, μιγνύουσιν ἄμυλον, πρὸς τὸ μιμήσασθαι αὐτὸ λευκὸν καὶ κοῦφον. εἰς μέντοι τὰ καθαρτικὰ ὁ διετὴς ἁρμόζει ἄχρι δεκαετῶν· ἡ δὲ τελεία * πόσις ὀβολός· ἡ δὲ ἐλαχίστη ἡμιωβόλιον· παιδίοις δὲ δίχαλκον· πλεῖον γάρ ποθὲν κίνδυνον ἐπιφέρει. κινεῖ δὲ τὴν κάτω καὶ τὴν ἄνω κάθαρσιν ἄγον φλέγμα καὶ χολήν. ἀρίστη δὲ τοῖς δυσπνοοῦσιν ἡ δι' αὐτοῦ κάθαρσις. εἰ μὲν οὖν θέλεις κατὰ κοιλίαν καθαίρειν διπλάσιον ἁλῶν μίξας καὶ στίμμεως ὅσον χρῶται δι' ὕδατος ὀροβιαῖα καταπότια δίδου, ἐπιρροφείτω δὲ χλιαροῦ ὕδατος κύαθον ἕνα· εἰς δὲ ἔμετον ὕδατι ἀνιεὶς, πτερῷ τοὺς ὑπὸ γλῶσσαν διάχριε τόπους ὡς ὅτι ἐσωτάτω· εἰ δὲ δυσεμὴς εἴη ἢ ἐλαίῳ ἢ ἰρίνῳ μύρῳ διεὶς, κώλυε δὲ κοιμᾶσθαι. τοῖς δὲ ὑπερκαθαιρομένοις, συνεχῶς προσφέρειν δεῖ οἰνέλαιον·

ἐμουμ=

Aliqui pro dulci aqua marinā perfundentes,ita eluunt. Alij in nouiſsima lotione, mulſam aquā reſpergunt. Elateriū optimū eſſe conſtat,lęue,nō pōderoſum, cū candore leniter humectum, guſtu amariſsimum, quódque lucernarū luminibus obiectū, facilè flagret. Porraceū tamen ſcabrumq́;,ſi turbidū ſpectetur,atq; erui cineríſq; plenū ſit,graue & vitioſum eſſe ſolet. Nec deſunt, qui cucumis ſucco amylū immſceāt, vt candorē ipſū & læuitatē imitētur. A bimatu ad decenniū deiectionib⁹ vtile eſt. Integer mod⁹,obolus eſt:minim⁹,ſemiobolus:pueris,chalci duo:ſiq̄dē copioſi⁹,periculū adfert. Bilē ac pituitā vtrauis parte extrahit. Optima ſuſpirioſis eſt purgatio. ꝙ ſi ī animo ſit deiectionē moliri,adiecto ſalis duplo, & ſtibij q̄d colorare ſufficiat, ex aqua, erui magnitudīe catapotia dato,poſtea cyath⁹ vn⁹ aquę tepidę ſorbeat:ad citādas tn̄ vomitiōes aqua diluēs elateriū,ſubiectas linguę partes peritiſsimè pēna oblinito:ꝙ ſi q̄ſquā difficili⁹ euomat,oleo aut vnguēto irino reſoluito,ſomnū ībibeto. Porrò his q̄ eximiè vacuāt cōtinuè vinū, & oleū dari cōuenit:

H etenim

etenim vomendo reſtituuntur. Quòd ſi vomitiones non finiantur, aqua frigida, polenta, poſca, poma, & quæ ſtomachum denſando corroborant, offerenda ſunt. Ciet elaterium menſes, & partus enecat, in peſſo ſubditum: morbo regio medetur, cum lacte naribus infuſum, & diuturnis capitis doloribus liberat: efficaciſsimè anginis illinitur, cum vetere oleo, melle, aut felle taurino.

Staphis agria.
Cap. CLVI.

Staphis agria, ſiue herba pedicularis, folia habet labruſcæ, diuiſa: & cauliculos rectos, molles nigroſq;: fert floré glaſti· & folliculos virides, ſimiles ciceri, & in his nucleum triangulum, ſcabrū, ex nigro ſubfuleſcentem, intus album, guſtu acrem. Grana quindecim, ſi trita in aqua mulſa dentur, craſſum humorem per vomitum purgāt: ſed qui hauſerūt, ambulare debent. prudenter tamen attendere oportet, & aquā mulſam cōtinuò potui dare: quoniā pericula ſtrangulationis inferūt, &

ἐμοῦντες γὰρ ἀποκαθίστανται. μὴ παυομένων δὲ τῶν ἐμέτων, ὕδωρ ψυχρὸν καὶ ἄλφιτον καὶ ὀξύκρατον καὶ ὀπώραν, καὶ ὅσα δύνανται τὸν στόμαχον πυκνῶσαι προσενεκτέον. κινεῖ δὲ τὸ ἐλατήριον καὶ ἔμμηνα, καὶ ἔμβρυα κτείνει ἐν προσθέτῳ· ἐγχυθέν τε μετὰ γάλακτος εἰς τοὺς ῥώθωνας, ἴκτερον ἀποκαθαίρει, καὶ κεφαλαλγίας τὰς χρονίους ἀπαλλάττει· συναγχικοῖς τὸ διάχρισμα πρακτικὸν μετ᾽ ἐλαίου παλαιοῦ ἢ μέλιτος ἢ χολῆς ταυρείας. τοῦ δὲ ἡμέρου σικύου ἡ ῥίζα λεῖα ποθεῖσα σὺν ὑδρομέλιτι < α. ὁλκή, ἐμέτους κινεῖ. εἰ δέ τις μετὰ τὸ δεῖπνον πραέως ἐμέσαι ἐθέλει, ἀρκοῦσιν ὀβολοὶ β΄.

Περὶ Σταφίδος ἀγρίας.
Κεφ. ρνς΄.

Σταφὶς ἀγρία φύλλα μὲν ἔχει ὥσπερ ἀμπέλου ἀγρίας ἐπεσχισμένα·* καυλία ὀρθά, μαλακά, μέλανα· τὸ δὲ ἄνθος φέρει ἰσάτῃ ὅμοιον· τὸν δὲ καρπὸν ἐν θυλακίοις χλωροῖς ὥσπερ ἐρεβίνθου, τρίγωνον, τραχύν, ὑπόκιρρον ἐν τῷ μέλανι, τὰ δὲ ἔνδον λευκόν, γευσαμένῳ δριμύ. Τούτου κόκκοις ί ἢ ε. ἐάν τις λεάνας ἐν μελικράτῳ δῷ, καθαίρει δι᾽ ἐμέτων πάχη· περιπατείτωσαν δὲ οἱ πεπωκότες. δεῖ μέντοι προσέχειν συνετῶς μελίκρατον διδόντας, διὰ τὸ ἐπιφέρειν τοὺς κατὰ πνιγμὸν κινδύνους,

καὶ καίειν τὴν φάρυγγα. ἁρμόζει δὲ τριφθεῖσα καὶ σὺν ἐλαίῳ συγχρισθεῖσα πρὸς φθειριάσεις καὶ κνησμοὺς καὶ ψώρας. διαμασηθεῖσα δὲ φλέγμα ἄγει πλεῖστον· καὶ ὀδονταλγίας ὠφελεῖ σὺν ὄξει ἑψηθεῖσα καὶ διακλυζομένη· οὖλά τε ῥευματιζόμενα στέλλει· καὶ ἄφθας τὰς ἐν στόματι θεραπεύει μετὰ μέλιτος. μίγνυται καὶ τοῖς πυρωτικοῖς μαλάγμασιν.

Περὶ Θαψίας. Κεφ. ρνζ΄.

Θαψία ὠνόμασται μὲν ἀπὸ τοῦ δοκεῖν πρῶτον εὑρῆσθαι ἐν Θάψῳ τῇ νήσῳ τῇ ὁμωνύμῳ. τῇ δ' ὅλῃ φύσει ἔοικεν νάρθηκι, ἰσχνότερος δ' αὐτῆς μᾶλλον ὁ* καρπὸς καὶ τὰ φύλλα μαράθρῳ ἐμφερῆ· ἐπ' ἄκρου δὲ σκιάδια καθ' ἑκάστην ἀπόφυσιν, ἀνήθῳ ὅμοια· ἐφ' ὧν ἄνθος μήλινον· σπέρμα ὑπόπλατυ, τοῦ τοῦ νάρθηκος ἐμφερὲς, ἔλαττον μέν τοι· ῥίζα ἔνδοθεν λευκὴ, μεγάλη, μέλαινα δ' ἔξωθεν παχύφλοιος, δριμεῖα. Ἥτις ὀπίζεται περιορυχθεῖσα καὶ ἐγκοπτομένη τὸν φλοιὸν, ἢ κοιλανθεῖσα αὐτὴ ἐν ἑαυτῇ θολοειδῶς ἡ ῥίζα καὶ πωμαζομένη πρὸς τὸ καθαρὸν μένειν τὸν ὀπόν· τῇ δὲ ὑστεραίᾳ δεῖ ἐπιόντας ἀναιρεῖσθαι τὸν ἐπισυλλεγέντα ὀπόν. χυλίζεται δὲ κοπεῖσα ἡ ῥίζα καὶ διὰ κυρτίδος καὶ ὀργάνου ἐκθλιβεῖσα καὶ ξηρανθεῖσα ἐν ἡλίῳ δι' ὀστρακίνου παχέος ἀγγείου.

ἔνιοι

& fauces adurunt. Trita & ex oleo illita, phthiriaſi prodeſt: item prurigini & pſoris. Cit plurimam pituitam commanducata: decocta in aceto, dentium dolori, colluto ore, ſubuenit: rheumatiſmum gingiuarum ſiſtit: vlcera oris manantia cum melle ſanat. Vrentibus malagmatis imponitur.

Thapſia. Cap. CLVII.

Thapſia nomē ideo accepit, quod in Thapſo eiuſdē nominis Inſula, primum inuenta ſit. Tota verò natura ferulæ ſimilis eſt: graciliore caule: foliis fœniculi: vmbella anethi in cacumine, à ſingulis ſurculis erūpente: flore luteo: ſemen quale ferulæ, latiuſculum, ſed aliquanto minus: radix foris nigra, intus candida, longa, acris, craſsiore libro veſtita. Lactis extrahendi ratio hæc eſt: Facto in ambitu ſcrobe, cortices inciduntur: aut radix in fornicis ſpeciem in ſe excauata, cooperitur, quò merus ſuccus confluat: oportet illuc ſequenti die ſe conferre, & congeſtū ſuccum extrahere. Tunditur etiam radix in pila, & ſuccus organo per quallū expreſſus fictili craſſo inſolatur.

Ali-

Aliqui foliũ vnà terunt:ſed inualidior huiuſcemodi ſuccus. Hoc autem intereſt, quoniam qui ab radice manauit, grauius olet, & humidus permanet: è foliis auté extractus, exciccatur, atq; teredinũ iniuriá ſentit. Qui ſuccũ colligit, ſtare debet non obuerſus vẽto:aut potius, cũ dies apricus eſt, & à flatu ſilet:quoniá ob halitus acrimoniá facies vehemẽter intumeſcit, nudáq; corpora inuadunt puſtulę:ob id prius liquido cerato, & adſtringẽte, nudas partes illinunt, & ita muniti accedũt. Tam cortex radicis, q̃ ſuccus, purgandi vim habẽt, & lacteus ſuccus in aqua mulſa potus:nã vtrinq; bilẽ extrahũt. Radicis modus, quaterni oboli, cũ trib⁹ ſeminis anethi drachmis: ſucci, terni oboli:lactis, obolus vnus:quod eo amplius aſſumitur, periculoſum eſt. Huiuſmodi purgatio cõuenit ſuſpirioſis, & diuturnis laterũ doloribus, reiectionibúſq;, datur in cibis aut obſonio, quibus difficile ſit vomere. Tã radix, q̃ ſucc⁹ omniũ maximè, quæ pares cũ eis vires adepta ſunt, vim habent extractoriá ex alto, vbi ex imo aliquid euocãdũ eſt, aut meatuũ laxitas aliò tranſferẽda eſt:

vnde

ἔνιοι δὲ καὶ τὰ φύλλα συναποθλίβουσιν· ἀσθενὴς δὲ ὁ τοιοῦτος. διακρίνεται δὲ τῷ βρωματωδέστερον εἶναι τὸν ἀπὸ τῆς ῥίζης καὶ μένειν ἔνικμον· ξηραίνεσθαι δὲ τὸν ἀπὸ τῶν φύλλων καὶ τερηδονίζεσθαι. ὀπίζοντα δὲ δεῖ μὴ κατ᾽ ἀνέμου ἵστασθαι· μᾶλλον δὲ νηνεμίας οὔσης. ἐπεὶ δεῖ γὰρ ἰσχυρῶς τὸ πρόσωπον καὶ φλυκταινοῦται τὰ γυμνὰ μέρη* διὰ τὴν δριμύτητα τῆς ἀποφορᾶς· δεῖ οὖν κηρωταῖς στυφούσαις ὑγραῖς προχρίειν τὰ γυμνὰ τῶν μερῶν, καὶ οὕτω προσέρχεσθαι. Δύναμιν δὲ ἔχει καθαρτικὴν, ὅ τε φλοιὸς τῆς ῥίζης καὶ ὁ χυλὸς, καὶ ὁ ὀπὸς σὺν μελικράτῳ πινόμενος· ἄνω γὰρ καὶ κάτω χολὴν καθαίρουσι. δίδοται δὲ τῆς μὲν ῥίζης τετρώβολον μετὰ ἀνήθου σπέρματος < γ. τοῦ δὲ χυλίσματος τριώβολον· τοῦ δὲ ὀποῦ ὀβολός· πλεῖον γὰρ δοθὲν, κινδυνῶδες. ἁρμόζει δὲ ἡ δι᾽ αὐτοῦ κάθαρσις πάθεσιν ἀσθματικοῖς, πλευρῶν ἀλγήμασι χρονίοις, καὶ ἀναγωγαῖς· τοῖς δὲ δυσεμέσιν ἐν σιτίοις ἢ ἑψήματι δίδοται. κέκτηται δὲ καὶ μετασυγκριτικὴν δύναμιν ὅ τε ὀπὸς καὶ ἡ ῥίζα πάντων μάλιστα τῶν ἰσοδυναμούντων ὅπου τι δεῖ ἐκ βάθους ἑλκύσαι, ἢ μετὰ ποροποιῆσαι.

ὅθεν ἀλωπεκίας καταχριόμενος ὁ χυλὸς ἢ ἡ ῥίζα χλωρὰ προστειβομένη, δασύνει. ὑπώπιά τε αἴρει καὶ πελιώματα λεία ἡ ῥίζα ἢ ὁ χυλὸς σὺν λιβανωτῷ καὶ κηρῷ ἴσοις· δεῖ δὲ μὴ πλέον δυοῖν ὡρῶν ἐᾷν· μετὰ δὲ ταῦτα πυριᾷν θερμῇ θαλάττῃ· αἴρει δὲ καὶ ἔφηλιν σὺν μέλιτι καταχρισθεὶς, καὶ λέπρας ἀφίστησι· φύματά τε ῥήττει μετὰ θείου καταχριόμενος ὁ χυλός· χρησίμως δὲ καταχρίεται καὶ ἐπὶ τῶν χρονίας ἐχόντων διαθέσεις περὶ πλευρὰν ἢ πνεύμονα, ἢ πόδας ἢ ἄρθρον· χρησιμεύει δὲ καὶ πρὸς ἐπαγώγια ἐπὶ τῶν μὴ ἐκ περιτομῆς λειποδέρμων οἴδημα ἐγείρων, ὅπερ καταντλούμενον καὶ τοῖς λιπαίνουσι μαλαττόμενον, τὸ ἐλλειπὲς τῆς πόσθης ἐκπληροῖ.

Περὶ Σπαρτίου. Κεφ. ρνή.

Σπαρτίον θάμνος ἐστὶ φέρων ῥάβδοις μακραὶς, ἀφύλλοις, στερεαὶς, δυσθραύστοις, αἷς τὰς ἀμπέλους δεσμεύουσι· φέρει δὲ λοβοὺς ὥσπερ φασίλους, ἐν οἷς σπερμάτια φακοειδῆ· ἄνθος μήλινον ὥσπερ λευκοΐου· Τούτου ὁ καρπὸς καὶ τὰ ἄνθη ποθέντα σὺν μελικράτῳ ὁλκὴ ὀβολῶν ε. καθαίρει ἄνω μετ᾽ ἐντάσεως ὥσπερ ὁ ἐλλέβορος ἀκινδύνως, ὁ δὲ καρπὸς κινεῖ τὴν κάτω κάθαρσιν, καὶ αὐτῶν δὲ τῶν ῥάβδων ἐν ὕδατι βραχεισῶν, εἶτα κοπεισῶν καὶ χυλισθεισῶν, ἰσχια-

vnde ſuccus illitione, aut radix recens affrictu, alopecias explent. Radix ſuccúſque cum æquis ceræ thuríſque portionibus, ſugillata liuoréſque tollunt: ſed non plus binis horis dimittantur: locus deinde aqua maris calida foueatur. Vitia cutis in facie emendat, cum melle illitus ſuccus: lepras tollit: tubercula diſcutit, perunctus cum ſulphure. In diuturnis pulmonum, laterum, pedum, articulorúmque valetudinibus vtiliter illinitur. Valet ad integendam colis glandem, iis qui natura, non circunciſione, curti ſunt: tumorem enim excitat, qui pinguium fotu emollitus, præputij iacturã reſarcit.

Spartium. Cap. CLVIII.

Spartion frutex eſt, longas ferens virgas, ſine foliis, firmas, fractu contumaces, quibus vites vinciuntur: ſemen lenticulæ, in folliculis phaſiolorũ modo naſcẽs: florem, vt albæ violæ, luteum. Purgant per ſuperna vehementer, hellebori vice, citra periculũ flores, & ſemina, quinis obolis in aqua mulſa pota. Semen deiectionem mouet. Ramis in aqua maceratis, mox tuſis, extractus ſuccus, iſchiadicis, & angina laborãtibus auxiliatur, ſi cyathi modũ ieiuni bibant. Quidam marina aqua macerare malunt, & infundere iſchiadicis clyſtere: ſtrigmenta autẽ elicit cruenta.

Silybum. Cap. CLIX.

Silybon, lata ſpina eſt, folia ferens chamæleonis albi. Hæc recens cum ſale oleóque cocta eſtur. Radicis ſuccus drachmæ pondere potus, vomitiones ciet.

Glans vnguentaria.
Cap. CLX.

Glans vnguentaria, fructus eſt arboris myricæ ſimilis, magnitudine auellanæ nucis, cuius nucleus Gręcarum nucum more tritus, humorem reddit, quo ad pretioſa vnguenta pro oleo vtuntur: naſcitur in Æthiopia, Ægypto, Arabia, & Petra oppido ſecus Iudæam. Præfertur plena, recens, candida, quæ facilè delibretur. Ea drachmæ pondere pota, lienem abſumit, cum lolij farina, & aqua mulſa podagricis illinitur: pſoras lepráſque decocta in aceto, vitiligines & nigras cicatrices cum nitro, emendat: & cum lotio lentigines, varos & papulas in facie, & cutis vitia tollit.

Vomi-

ἰσχιαδικῶν καὶ συναγχικῶν ἐστι βοήθημα, ὅσον κύαθος εἷς πινόμενος νήστεσιν. ἔνιοι δὲ ἐναποβρέξαντες ἅλμῃ ἢ θαλάττῃ, ἐγκλύζουσι τοὺς ἰσχιαδικούς· ἄγει δὲ αἱματώδες καὶ ξυσματώδες.

Περὶ Σιλύβου. Κεφ. ρνθʹ.

Σίλυβον ἄκανθά ἐστι πλατεῖα, φύλλα ἔχουσα χαμαιλέοντι ὅμοια τῷ λευκῷ. ἣ τις ἀρτιφυὴς ἐσθίεται ἑφθὴ σὺν ἐλαίῳ καὶ ἁλσί. τῆς δὲ ῥίζης ὁ ὀπὸς ὅσον ὁλκὴ ποθεὶς σὺν μελικράτῳ, ἐμέτους κινεῖ. *

Περὶ Βαλάνου μυρεψικῆς.
Κεφ. ρξʹ.

Βάλανος μυρεψικὴ καρπός ἐστι δένδρου μυρίκῃ ἐοικότος, ὅμοιος τῷ λεγομένῳ ποντικῷ καρύῳ, οὗ τὸ ἐντὸς θλιβόμενον ὥσπερ τὰ πικρὰ ἀμύγδαλα, ἐξίησιν ὑγρόν, ᾧ εἰς τὰ πολυτελῆ μύρα ἀντ' ἐλαίου χρῶνται· γεννᾶται δὲ ἐν αἰθιοπίᾳ καὶ αἰγύπτῳ καὶ ἀραβίᾳ καὶ ἐν τῇ κατ' ἰουδαίαν πέτρᾳ. διαφέρει δὲ αὐτῆς ἡ νέα καὶ πλήρης, λευκή τε καὶ εὐλέπιστος. Ἣ τις μετ' ὀξυκράτου ποθεῖσα λεῖα ὅσον < ὁλκή, σπλῆνα τήκει καὶ καταπλάσσεται δὲ ἐπ' αὐτοῦ μετ' αἰρίνου ἀλεύρου, καὶ μετὰ μελικράτου καὶ ἐπὶ ποδαγρικῶν· σὺν ὄξει δὲ ἑψηθεῖσα ἀποσμήχει ψώραν, λέπραν· σὺν νίτρῳ δὲ ἀλφούς, οὐλὰς μελαίνας· σὺν οὔρῳ δὲ αἴρει φακούς, ἰόνθους, ἐφήλεις, ἐξανθήματα ἐν προσώποις·

ἐμέτοις δὲ κινεῖ, καὶ κοιλίαν λύει μετὰ ὑδρομέλιτος· κακοστόμαχος δέ ἐστιν ἱκανῶς, καὶ τὸ ἐξ αὐτῆς ἔλαιον ποθὲν τὴν κοιλίαν ἐπάγει, στυπτικώτερος δέ ἐστιν ὁ φλοιὸς αὐτῆς· τὸ δὲ* ἐκκοπείσης καὶ ἐκθλιβείσης αὐτῆς ἐκπίεσμα, μίγνυται σμήγμασι τοῖς πρὸς τραχύτητας καὶ κνησμοὶς εὐθετοῦσιν.

Περὶ Ναρκίσσου. Κεφ. ρξά.

Νάρκισσος, ἔνιοι καὶ τοῦτο ὥσπερ τὸ κρίνον λείριον ἐκάλεσαν, τὰ μὲν φύλλα πράσῳ ἔοικε, λεπτὰ δὲ καὶ μικρότερα κατὰ πολὺ, καὶ στενώτερα· καυλὸν κενὸν, ἄφυλλον μείζω σπιθαμῆς· ἐφ' οὗ ἄνθος λευκόν· ἔσωθεν δὲ κροκῶδες· ἐπ' ἐνίων δὲ πορφυροειδές· ῥίζα δὲ λευκὴ, ἔνδοθεν στρογγύλη, βολβοειδὴς, καρπὸς ὡς ἐν ὑμένι, μέλας, παραμήκης· φύεται ὁ κάλλιστος ἐν ὀρεινοῖς τόποις, εὐώδης· ὁ δὲ λοιπὸς πρασίζει, καὶ βοτανώδη τὴν ἀποφορὰν ἔχει. Τούτου ἡ ῥίζα βρωθεῖσα ἑφθὴ καὶ ποθεῖσα, ἐμέτοις κινεῖ· ἁρμόζει δὲ καὶ πυρικαύτοις σὺν μέλιτι λεία· καὶ τὰς περὶ νεῦρα διακοπὰς παρακολλᾷ καταπλασσομένη· στρέμματά τε σφυρῶν καὶ τὰ περὶ ἄρθρα χρόνια ἀλγήματα λεία σὺν μέλιτι καταπλασθεῖσα ὀνίνησι· καθαίρει καὶ ἔφηλιν καὶ ἀλφὸν σὺν κνίδης σπέρματι καὶ ὄξει· σὺν ὀρόβῳ δὲ καὶ μέλιτι

Vomitiones mouet, & aluum cum hydromelite reſoluit: ſtomacho aduerſatur. Oleum quod ea exprimitur, aluũ potu ciet. Cortex eius magis adſtringit: verùm tuſæ & expreſſæ ſuccus abſtergentibus medicamentis adiicitur, quæ aduerſus prurigines & ſcabritias idonea ſunt.

Narciſſus. Cap. CLXI.

Narciſſum ſunt qui vt liliũ, lirium appellarint, folia porro ſimilia, tenuia, multò minora, & anguſtiora: caulis vacuꝰ, & ſine foliis, ſupra dodrantem attollitur: flos albus, intus croceus, in quibuſdam purpureus: radix intus alba, rotunda, bulboſa: ſemen velut in tunica, nigrum, longum: probatiſſimus naſcitur in montibus, ſuaui odore: cæteri porrum imitantur, atque herbaceum virus olent. Radix cocta, ſiue eſtur ſiue bibitur, vomitoria eſt: ambuſtis igni prodeſt, cum exiguo melle trita: præciſos neruos illitu glutinat: luxatis malleolis, diuturníſque articulorum doloribus, trita ex melle & impoſita, ſubuenit: vitia cutis in facie, vitiligenéſq; cum ſemine vrticæ, & aceto emaculat: cum eruo & melle, vlcerum ſordes expurgat: abſceſſus rumpit cõcoctioni repugnantes: infixa corpori extrahit, illita cum lolij farina, & melle.

Hippophaës. Cap. CLXII.

Hippophaës, quo fullones veſtes interpolant, in ſabuloſis maritimíſque naſcitur, ſurculaceo frutice, vndique denſo & largo, foliis oleæ, longioribus, mollioribúſq;: inter quæ candicantes ſpinę emicant, ſiccæ, anguloſæ, interſtitio quodam diſtantes: flores hederæ corymbis ſimiles, racematim cohærent, minuſculi tamen, & molles, candidi, ex parte rubeſcentes: radix lacteo ſucco madet, craſſa, mollis, amara guſtanti: ex qua, perinde ac thapſia, ſuccus eximitur, qui per ſe, & cum erui farina ſubactus, ſiccatur, & ad vſum reconditur. Syncerus pituitas, bilem, aquáſque detrahit, oboli pondere: erui verò farina ſubactus, quatuor obolis, cum aqua mulſa. Frutex cum radicibus ſiccatus tũditur, & cum aquæ mulſæ dimidia hemina tritus datur. Radice & herba liquamentum depromitur, vti in thapſia: hui⁹ in purgationibus modus eſt drachma.

Hippo-

τὰς ἀκαθαρσίας τῶν ἑλκῶν ἀποκαθαίρει· καὶ τὰ δύσπεπτα τῶν ἀποστημάτων ῥήσσει· ἄγει καὶ σκόλοπας σὺν αἰείνῳ ἀλεύρῳ καὶ μέλιτι καταπλασσομένη.

Περὶ Ἱπποφαοῦς. Κεφ. ρξϐ.

Ἱπποφαὲς, ᾧ γνάφουσι τὰ ἱμάτια, φύεται μὲν ἐν παραθαλαττίοις καὶ ἀμμώδεσι τόποις, θάμνος δέ ἐστι φρυγανώδης, πυκνὸς ἀμφιλαφὴς, φύλλα ἔχων μακρὰ πρὸς τὰ τῆς ἐλαίας, στενώτερα δὲ καὶ λεπτότερα καὶ μεταξὺ ἀκάνθας ξηρὰς ὑπολεύκους, γωνιοειδεῖς, ἀπ' ἀλλήλων διεστώσας· ἄνθη κορύμβοις ἐοικότα κισσοῦ, ὡς βοτρύδια προσκείμενα ἀλλήλοις, πλὴν μικρότερα καὶ μαλακὰ, καὶ μετὰ τοῦ λευκοῦ φοινίσσοντα ἐκ μέρους· ῥίζα παχεῖα καὶ μαλακὴ, ὀποῦ μεστὴ, γευσαμένῳ πικρὰ, ὀπιζομένη ὥσπερ θαψία. Ἀποτίθεται δὲ καθ' ἑαυτὸν ὁ ὀπὸς καὶ σὺν ὀροβίνῳ ἀλεύρῳ ἀναλαμβανόμενος καὶ ξηραινόμενος· καθαίρει δὲ χολῶδες, ὑδατῶδες καὶ φλεγματῶδες κάτω, ὅσον ὀβολὸς ἀκέραιος· τοῦ δὲ μετὰ τοῦ ὀροβίνου τετρώβολον σὺν μελικράτῳ καὶ ὁ θάμνος δὲ σὺν ταῖς ῥίζαις ξηραινόμενος κόπτεται, καὶ δίδοται λεῖος μετὰ μελικράτου κοτύλης μιᾶς ἡμισείας· γίνεται δὲ καὶ χύλισμα τῆς ῥίζης καὶ τῆς πόας ὥσπερ ἐπὶ τῆς θαψίας· δίδοται δὲ τούτου < α' εἰς τὰς καθάρσεις.

Περὶ Ἱππο-

Περὶ Ἱπποφαίστου. Κεφ. ρξγ'.

Ἱππόφαιστον, οἱ δὲ καὶ τοῦτο ἱπποφαὲς καλοῦσι, φύεται ἐν τοῖς αὐτοῖς τόποις, ἐν οἷς καὶ τὸ ἱπποφαὲς, καὶ αὐτὸ γναφικῆς ἀκάνθης εἶδος ὑπάρχον· ἔστι δὲ χαμαιπετὲς, ἔχον μόνον φυλλάρια μικρὰ, ἀκανθώδη, καὶ κεφάλια χαῦνα· οὔτε δὲ καυλὸν οὔτε ἄνθος φέρει· ῥίζαν δὲ παχεῖαν καὶ μαλακήν. Ταύτης τὰ φύλλα καὶ τὴν ῥίζαν καὶ τὴν κεφαλὴν χυλίσας, ξήραινε καὶ δίδου ὁλκὴν τριωβόλου μετὰ μελικράτου ᾧ βούλει· ἡ γὰρ διὰ τούτου κάθαρσις, ὕδωρ καὶ φλέγμα ἄγει· ἰδίως δὲ ὀρθοπνοίαις ἁρμόζει καὶ ἐπιληψίαις καὶ τοῖς περὶ νεῦρα πάθεσιν ἡ διὰ τούτου κάθαρσις.

Περὶ Κίκεως. Κεφ. ρξδ'.

Κίκι ἢ κρότων, οἱ δὲ σήσαμον ἄγριον, οἱ δὲ σέσελι κύπριον, οἱ δὲ κρότωνα ὠνόμασαν· κρότων, διὰ τὴν πρὸς τὸ ζῶον ἐμφέρειαν τοῦ σπέρματος· δένδρον δέ ἐστι συκῆς μικρᾶς μέγεθος ἔχον· φύλλα δὲ ὅμοια πλατάνῳ, μείζονα δὲ καὶ λειότερα καὶ μελάντερα· τὰ δὲ στελέχη καὶ τὰς κράδας κοῖλα καλάμου τρόπον ἔχει· καρπὸν δὲ ἐν βότρυσι τραχέσι, λεπισθέντα, ὅμοιον κρότωνι τῷ ζώῳ. Ἐξ οὗ καὶ ἀποθλίβεται τὸ λεγόμενον κίκινον ἔλαιον. ἄβρωτον μὲν, ἄλλως δὲ χρήσιμον εἰς λύχνους καὶ ἐμπλάστρους· καθαρθέντες δὲ ὅσον λ' κόκκοι τὸν ἀριθμὸν καὶ ποθὲν-

τες λεῖον,

Hippophęſtũ. Cap.CLXIII.

Hippophæſton, id quod aliqui hippophaës appellant, naſcitur eiſdem locis quibus hippophaës, eſtque ſpinæ fullonię genus, humilis herbæ, ſine cauliculo, ſine flore: inanibus tantum capitulis: foliis paruis, ſpinoſis: radiculas habens molles, craſſas. Succus radice, foliis & capitulo exprimitur, & exiccatur. Datus, cui voles, tribus obolis, in aqua mulſa, aquam pituitáſque detrahit: priuatim comitialibus morbis, neruorum vitiis, & orthopnœæ cõuenit huiuſcemodi purgatio.

Ricinus. Cap. CLXIIII.

CICI, aut croton, nomen accepit à ricini animalis ſimilitudine: arbor prouenit paruæ ficus altitudine, folio platani, maiore, læuiore, & nigriore: ramis, caudicibúſque cauis in arundinis morem: ſemine in vuis aſperis, quod corticibus exutum, ricinum animal repræſentat: ex quo oleum, nomine cicinum, exprimitur, cibis fœdum, lucernis emplaſtríſque vtile. Grana triginta numero purgata, trita potu, pituitas, bilem, aquámque per aluum extrahunt, vomitionéſq; mouét, ſed iniucūda admodum eſt, & moleſta purgatio: ſiquidē ſtomachum vehementer ſubuertit. Tuſa & impoſita, vitia cutis in facie, varóſque expurgat. Folia cum poléta trita, inflammationes oculorū, tumoréſque leniunt: rigentes mammas cohibent: eadem ex aceto illita, ignes ſacros reſtingunt.

Tithymali. Cap. CLXV.

Tithymali genera ſeptem, quorū maſculus characias appellatur, ab aliquibꝰ amygdaloides: alter, myrtites, qui fœmina exiſtimatur, eumq; myrſiniten aut caryiten vocāt: tertius, paralius, quem tithymalida appellarunt: alius, helioſcopius: quintus, cypariſſias: ſextꝰ, dendroides: ſeptimus, platyphillos dicitur. Characiæ caules ſupra cubiti altitudinē attolluntur: rubri, lacteo ſucco atque acri madētes: foliis oleæ circum ramos, anguſtioribus, & longioribus: radice craſſa, lignoſa: pendet in cacuminibus caulium, coma iunci, ſub qua caueolæ ſoliolis balnearū ſimiles, in quibus ſemē cōtinetur: naſcitur in aſperis, & mōtibus. Succus aluum purgat:

trahit

τες λεῖον, ἄγουσιν κατὰ κοιλίαν φλέγμα καὶ χολὴν καὶ ὕδωρ· κινοῦσι δὲ καὶ ἔμετον, ἔστι δὲ λίαν ἀηδὴς καὶ ἐργώδης ἡ τοιαύτη κάθαρσις· ἀνατρέπουσα στόμαχον ἰσχυρῶς· κοπεῖσα δὲ καὶ καταπλασθεῖσα ἴονθους καὶ ἐφήλεις καθαίρει. τὰ δὲ φύλλα τριβέντα μετὰ παιπάλης ἀλφίτου, ὀφθαλμῶν οἰδήματα καὶ φλεγμονὰς παύει· καὶ σπαργῶντας μαστοὺς, ἐρυσιπέλατά τε σβέννυσι καθ' ἑαυτὰ καὶ μετ' ὄξους καταπλασσόμενα.

Περὶ Τιθυμάλων. Κεφ. ρξε΄.

Τιθυμάλων εἴδη ζ΄. ὧν ὁ μὲν ἄρρην χαρακίας καλεῖται, ὑπὸ δέ τινων κομήτης, ἢ ἀμυγδαλοειδὴς ἢ κωβιὸς ὀνομάζεται· ὁ δέ τις θῆλυς ἢ μυρτίτης, ὃν καὶ καρυΐτην ἢ μυρσινίτην καλοῦσιν· ὁ δὲ παράλιος, ὃν ἔνιοι τιθυμαλίδα ἐκάλεσαν· ὁ δέ τις ἡλιοσκόπιος. ὁ δὲ κυπαρισσίας· ὁ δὲ δενδροειδής· ὁ δὲ πλατύφυλλος. Τοῦ δὴ χαρακίου καλουμένου, καυλοὶ μὲν, ὑπὲρ πῆχυν ἐνερευθεῖς, ὀποῦ δριμέος καὶ λευκοῦ μεστοί· φύλλα δὲ περὶ τὰς ῥάβδους ὅμοια ἐλαίᾳ, μακρότερα δὲ καὶ στενότερα· ῥίζα ἁδρὰ καὶ ξυλώδης· ἐπ' ἄκρων δὲ τῶν καυλῶν κόμη σχοινοειδῶν ῥαβδίων, καὶ ὑπ' αὐτῶν ὑπόκοιλα ὅμοια πυέλοισιν, ἐν οἷς ὁ καρπός· φύεται ἐν τραχέσι καὶ ὀρεινοῖς τόποις. Δύναμιν δὲ ἔχει ὁ ὀπὸς καθαρτικὴν τῆς κάτω κοιλίας·

ἄγων φλέγμα καὶ χολὴν ὀβολῶν β πλῆθος λαμβανόμενος μετ' ὀξυκράτου· σὺν μελικράτῳ δὲ καὶ ἔμετον κινεῖ. ὀπίζεται δὲ περὶ τὸν τρυγητόν. συναχθεισῶν τῶν ῥάβδων καὶ ἀποτμηθεισῶν, ἐγκεκλεῖσθαι δὲ αὐτὰς δεῖ εἰς ἀγγεῖον. ἔνιοι δὲ ὀρόβινον ἄλευρον μιγνύντες, συναναπλάσσουσιν ὀροβιαῖα μεγέθη. τινὲς δὲ εἰς τὰ ξηραινόμενα σῦκα ἀποστάζουσι σταλαγμοὺς γ΄ ἢ δ΄. καὶ ξηραίνοντες ἀποτίθενται. καθ' ἑαυτὸν δὲ τριβόμενος ἐν θυίᾳ ἀναπλάσσεται καὶ ἀποτίθεται. ἐν δὲ τῷ ὀπίζειν οὐ δεῖ κατὰ ἄνεμον ἵστασθαι, οὐδὲ τὰς χεῖρας ἄγειν τοῖς ὀφθαλμοῖς· ἀλλὰ καὶ πρὸ τοῦ ὀπίζειν τὸ σῶμα δεῖ χρίειν στέατι ἢ ἐλαίῳ μετ' οἴνου καὶ μάλιστα πρόσωπον καὶ τράχηλον καὶ ὄσχεον. τραχύνει δὲ καὶ τὴν φάρυγγα· ὅθεν δεῖ καταπότια περιπλάττειν κηρῷ ἢ μέλιτι ἑφθῷ, καὶ οὕτως διδόναι· ἰσχάδες μέντοι δύο ἢ τρεῖς λαμβανόμεναι, αὐτάρκεις εἰσὶ πρὸς κάθαρσιν. ψιλοῖ δὲ καὶ τρίχας ὀπὸς πρόσφατος ἐπιχρισθεὶς μετ' ἐλαίου, ἐν ἡλίῳ, καὶ τὰς ἐπιγινομένας δὲ ξανθὰς καὶ λεπτὰς ποιεῖ· καὶ τέλος ἐκφθείρει πάσας. ἐντίθεται δὲ καὶ τοῖς βρώμασι τῶν ὀδόντων κουφίζων τὰ ἀλγήματα· κηρῷ δὲ δεῖ τοὺς ὀδόντας ἐπιπλάττειν, ἵνα μὴ παραῤῥυεὶς κακώσῃ

trahit pituitam bilémque, binis obolis in poſca ſumptis: & cum aqua mulſa, vomitiones mouet. Appetente vindemiarũ tempore, ſuccus congeſtis ramulis, mox diſſectis, & vaſe cõcluſis, excipitur. Aliqui adiiciũt farinam erui, & in paſtillos digerũt, qui erui magnitudinem impleant. Alij in aridas ficos, ternas quaternásve guttas inſtillant, vt cum his inareſcant: quas ad vſus recondunt. Per ſe etiam tuſus in pila, & in paſtillos coactus reponitur. Porrò cum extrahitur lac, neque quò ventus aſpiret, ſtare quẽquam, neque manus oculis admouere conuenit: ſed antequam colligas, corpus, præſertim faciem, collũ, ſcrotúmque genitalis, adipe aut oleo cũ vino perungere. Fauces autem exaſperat: quapropter catapotia cera aut decocto melle oblini par eſt, & hoc modo dari: binas tamen ternásve ficos, purgationis gratia ſumpſiſſe, ſatis eſt. Recens lac ex oleo, perunctos in ſole capillos euellit, renaſcentesq; flauos, & exiles efficit: denique omnes perimit. Dentiũ cauernis inclusum, leuat dolores: ſed cera dẽtes oblinendi ne ſuo delapſu, fauces & linguam vitiet. Tollit illitu impetigines, formicantes verrucas, penſiles, & quæ thymi florem repræſentant. Valet aduerſus pterygia, carbunculos, phagedænas vlcerum, gangrænas, fiſtulásq;. Legitur ſemen autumno, & ſiccatum ſole leuiter tunditur, feruefactúmque loco mundo reponitur. Folia item ſiccantur. Semen & folia lactei ſucci effectum præbent, dimidio acetabulo pota. Sunt qui inueterant, admiſto cú lacte lepidio, & caſeo cōtuſo. Radix drachmæ pondere in hydromelite pota per inferna trahit. Decocta cum aceto, dentium dolori auxiliatur, colluto ore.

Tithymali fœmina.

Fœmina, quam myrſiniten, aut caryiten vocarunt, ſimilis ſuapte natura daphnoidi: foliis myrthi, ſed maioribus, firmis, in cacumine acutis, & pungētibus: ramulos ab radice mittit dodrantales: fructum fert alternis annis, nuci ſimilem, mordaci guſtu: naſcitur & hęc in aſperis. Succus, radix, ſemē, folia, conſimilem antedicto ſortiūtur facultatem: ſed ad citandas vomitiones inualidior hęc eſt.

Aliud

κακώσῃ τὴν φάρυγγα ἢ τὴν γλῶτταν. αἴρει δὲ καὶ μυρμηκίας, καὶ ἀκροχορδόνας καὶ θύμους καὶ λειχῆνας ἐπιχριόμενος. ἁρμόζει καὶ πρὸς πτερύγια καὶ ἄνθρακας, φαγεδαίνας, γαγγραίνας, σύριγγας. καὶ ὁ καρπὸς δὲ φθινοπώρῳ συλλεγεὶς, καὶ ξηρανθεὶς ἐν ἡλίῳ, κοπεὶς τε κούφως καὶ ἀποβρασθεὶς καθαρῶς ἀποτίθεται. καὶ τὰ φύλλα ὁμοίως ξηρά. ποιεῖ δὲ καὶ ὁ καρπὸς καὶ τὰ φύλλα τὰ αὐτὰ τῷ ὀπῷ, πλῆθος ἡμίσους ὀξυβάφου ποτιζόμενα. ἔνιοι δὲ καὶ ταριχεύουσιν αὐτὰ, μιγνύντες τῷ διὰ τοῦ γάλακτος λεπιδίῳ, καὶ τυρῷ κοπτῷ. καὶ ἡ ῥίζα δὲ ἐπιπασθεῖσα < α. σὺν ὑδρομέλιτι καὶ ποθεῖσα, ἄγει κατὰ κοιλίαν, ἑψηθεῖσα δὲ σὺν ὄξει καὶ διακλυζομένη, ὀδονταλγίας βοηθεῖ.

Περὶ τοῦ θήλεως.

Ὁ δὲ θῆλυς, ὃν ἔνιοι μυρσινίτην ἢ καρυΐτην ἐκάλεσαν, προσεμφερὴς τῷ δαφνοειδεῖ τὴν φύσιν· καὶ τὰ φύλλα ὅμοια ἔχει μυρσίνῃ, μείζονα δὲ καὶ στερεὰ, ἐπ᾽ ἄκρου ὀξέα καὶ ἀκανθώδη· κλήματα δὲ ἀπὸ τῆς ῥίζης σπιθαμιαῖα ἀφίησι· τὸν δὲ καρπὸν φέρει παρ᾽ ἐνιαυτὸν καρύῳ ὅμοιον, ἡσυχῆ δάκνοντα τὴν γλῶσσαν· ἐν τραχέσι δὲ χωρίοις καὶ οὗτος φύεται. Δύναμιν δὲ ἔχει ὁ ὀπὸς καὶ ἡ ῥίζα καὶ ὁ καρπὸς καὶ τὰ φύλλα ὁμοίαν τῷ πρὸ αὐτοῦ· ἐμετικώτερος μέντοι ἐκεῖνος τούτου ἐστίν.

Περὶ τοῦ

Περὶ τοῦ παραλίου.

Ὁ δὲ παράλιος λεγόμενος τιθύμαλος, ὃν ἔνιοι τιθυμαλίδα ἢ μήκωνα ἐκάλεσαν· φύεται ἐν παραθαλασσίοις τόποις. κλῶνας δὲ ἔχει σπιθαμιαίους ὑπερύθρους, ε΄ ἢ ς΄ ἀπὸ τῆς ῥίζης, περὶ οὓς τὰ φύλλα στοιχηδὸν μικρὰ, ὑπόστενα, παραμήκη, ἐοικότα λίνῳ· κεφαλὴν δὲ ἐπ' ἄκρου περιφερῆ, ἐν ᾗ ὁ καρπὸς ὡς ὄροβος, ποικίλος, ἄνθη λευκά. ὅλος δὲ ὁ θάμνος καὶ ἡ ῥίζα, ὀποῦ λευκοῦ μεστή. καὶ τούτου χρῆσις καὶ ἀπόθεσις, ὅμοια ἐστὶ τοῖς προειρημένοις.

Περὶ τοῦ ἡλιοσκοπίου.

Ὁ δὲ ἡλιοσκόπος λεγόμενος, ἀνδράχνῃ ὅμοια φύλλα ἔχει, λεπτότερα δὲ καὶ περιφερέστερα· κλῶνας δὲ ἀφίησιν ἀπὸ τῆς ῥίζης δ΄ ἢ ε΄. σπιθαμιαίους, λεπτοὺς καὶ ἐρυθροὺς, ὀποῦ λευκοῦ, μεστοὺς πολλοῦ· κεφαλὴ δὲ ἀνηθοειδής· καὶ ὁ καρπὸς δὲ ὥσπερ ἐν κεφαλίοις. συμπεριφέρεται δὲ τούτου ἡ κόμη τῇ τοῦ ἡλίου κλίσει. ὅθεν καὶ ὠνόμασται ἡλιοσκόπος ἐν ἐρειπίοις δὲ μάλιστα καὶ περὶ τὰς πόλεις φύεται. συλλέγεται δὲ ὁ ὀπὸς καὶ ὁ καρπὸς ὥσπερ καὶ τῶν ἄλλων. Δύναμιν ἔχων τὴν αὐτὴν τοῖς προτέροις, ἀλλ' οὐκ οὕτως ἐπιτεταμένην.

Περὶ Κυπαρισσίου.

Ὁ δὲ κυπαρισσίας, καυλὸν μὲν ἀνίησι σπιθαμιαῖον, ἢ καὶ μείζονα, ὑπέρυθρον, ἐξ οὗ βεβλάστηκε τὰ φύλλα τοῖς τῆς πίτυος ὅμοια,

στρυφερώ-

Aliud tithymali genus.

Aliud tithymali gen⁹ dicitur paralios, quẽ tithymalida, aut mecona aliqui appellauere: naſcitur ĩ maritimis, ramis ſubrubẽtibus, palmũ altis, quinis, ſeniſve à radice exeũtibus: foliis lini, anguſtis, paruis, oblõgis, in verſus quoſdã digeſtis: capite in cacumine orbiculato, ĩ quo ſemen, vt eruum, vario colore emicat: flos albus. Frutex totus cũ radice lacteo ſucco turget. Similes ad vſus reconditur.

Helioſcopius.

Helioſcopius dicit̃ foliis portulacæ, tenuioribus, rotũdioribusq; : ramulis prodeunbus à radice, quatuor aut quinq;, rubentibus, dodrantali altitudine, tenuibus, lactis copioſi plenis: capite anethi: ſemine velut in capitulis incluſo: Helioſcopi nomen accepit, quoniã comas cum ſole circumagat: circa oppida naſcitur, potiſsimũ in ruderibus. Colligitur ſuccus ſeménque, vt aliorum. Eædem quæ ſuperioribus vires, non̄ tamen vſque adeò validæ.

Cipariſsias.

CIPARISSIAS in caulem exit dodrantalem, vel maiorem, ſubrubrũ: ex quo folia picæ ſimilitudine exoriuntur, molliora tamẽ, & tenuiora & in totum naſcẽtem piceam æmulatur, vnde nomen traxit. Candido ſucco madet, cui eadem vis quæ ſuperioribus.

Aliud dendroides nominatum.

In petris naſcens, dendroides cognominatur. ampliter opacat, in cacumine frondoſam ſpargens comam, ſucco lacteo prægnans, cauliculis rubétibus: foliis myrti tenuioris: fructu characiæ. Eiuſdem effectus, cuius ſuperiores, ſimiliq; modo reconditur.

Platyphyllos.

PLATYPHLLOS, verbaſco ſimilis eſt. Radix, ſuccus, & folia, per inferna trahunt aquas. Piſces necat, tuſus & aquæ inſparſus. Reliqua tithymalorũ genera quæ ſuprà ſcribuntur, idem efficiunt.

Pityuſa. Cap. CLXVI.

Pityuſam ſpecie à cypariſsia differre conſtat, etſi tithymalorum generi aſsignetur. caulis ſupra cubiti altitudinem aſſurgit, geniculatus: foliis piceæ, acutis, exilibus: flore paruo: velut purpureo: ſemine inſtar lenticulæ, lato: radice craſſa, candida, ſucco referta, quibuſdam

τρυφερώτερα μέν τοι καὶ λεπτότερα· καὶ καθόλου ἔοικε πίτυϊ ἀρτιφυεῖ· ὅθεν καὶ ὠνόμασται. πεπλήρωται δὲ καὶ οὗτος ὀποῦ λευκοῦ. Δύναμιν δ' ἔχει ὁμοίαν τοῖς πρὸ αὐτοῦ.

Περὶ τοῦ ἐν ταῖς πέτραις φυομένου.

Ὁ δὲ ἐν ταῖς πέτραις φυόμενος δενδροειδὴς δὲ καλούμενος, ἀμφιλαφὴς ἄνωθεν καὶ πολύκωμος, ὀποῦ μεστὸς, ὑπέρυθρος τοὺς κλάδους· περὶ οὓς τὰ φύλλα μυρσίνῃ λεπτῇ προσεοικότα· καρπὸς δὲ ὅμοιος τῷ τοῦ χαρακίου, παραπλησίως δὲ καὶ οὗτος ἀποτίθεται. καὶ ἐνεργεῖ ὁμοίως τοῖς προειρημένοις.

Περὶ Πλατυφύλλου.

Ὁ δὲ πλατύφυλλος φλόμῳ ἔοικε. καὶ αὐτοῦ δὲ ἡ ῥίζα καὶ ὁ ὀπὸς καὶ τὰ φύλλα, ἄγει ὕδατα τὰ διὰ κατὰ κοιλίαν· ἀποκτείνει δὲ καὶ τοὺς ἰχθύας κοπεὶς καὶ διεθεὶς τῷ ὕδατι· καὶ οἱ προγεγραμμένοι δὲ τὸ αὐτὸ δρῶσι.

Περὶ Πιτυούσης. Κεφ. ρξϛ'.

Πιτύουσα, οἱ δὲ κλῆμα, οἱ δὲ κραμείον, οἱ δὲ παράλιον, οἱ δὲ κανοπικὸν καλοῦσιν· εἴδει δοκεῖ διαφέρειν τοῦ κυπαρισσίου τιθυμάλλου· ὅθεν καὶ εἶδος ἐν αὐτοῖς καταριθμεῖται). ἀνίησι δὲ καυλὸν πήχεως μείζονα πολυγόνατον φυλλαρίοις ὀξέσι, λεπτοῖς κατειλημμένον, ἐμφερέσι τοῖς τῆς πίτυος· ἄνθη μικρὰ ὡσεὶ πορφυρᾶ· καρπὸν δὲ πλατὺν ὡς φακόν· ῥίζαν λευκὴν, *παχεῖαν ὀποῦ μεστὴν εὑρίσκεται)

εὑρίσκεται δὲ κατὰ τόπους σφόδρα εὐμεγέθης ὁ θάμνος. Καθαίρει δὲ κάτω ἡ μὲν ῥίζα, < β΄. ὁλκὴ δοθεῖσα σὺν μελικράτῳ· τοῦ δὲ καρποῦ α΄. τοῦ δὲ ὀποῦ ὅσον κοχλιάριον ἐν καταποτίῳ ἀναληφθέντος ἀλεύρῳ· τῶν δὲ φύλλων ὁλκαὶ γ΄.

Περὶ Λαθυρίδος. Κεφ. ρξζ΄.

Λαθυρὶς, οἱ δὲ, καὶ ταύτην τιθύμαλον καλοῦσι, καταριθμοῦνται τινὲς καὶ αὐτὴν ἐν τοῖς τιθυμάλοις, καυλὸν ἀνίησι πήχεως τὸ ὕψος, κενὸν, πάχος δακτύλου· ἐπ᾽ ἄκρου δὲ αὐτοῦ μασχάλαι· φύλλα δὲ τὰ μὲν ἐπὶ τοῦ καυλοῦ ἐπιμήκη, ὅμοια τοῖς τῆς ἀμυγδαλῆς, πλατύτερα δὲ καὶ λειότερα· τὰ δ᾽ ἐπ᾽ ἄκρων τῶν κλωνίων μικρότερα, ὥσπερ ἀριστολοχίας ἢ κισσοῦ τοῦ ἐπιμήκους. καρπὸν δὲ ἔχει ἐπ᾽ ἄκρων τῶν κλάδων τρίχωρον, περιφερῆ ὥσπερ καππάριν, ἐν ᾧ τρία σπερμάτια διειργόμενα ἐλύτροις ἀπ᾽ ἀλλήλων, περιφερῆ, μείζονα ὀρόβων· λεπισθέντα δὲ λευκὰ καὶ γλυκέα ἐν τῇ γεύσει. ῥίζα λεπτὴ, ἄχρηστος, ὅλος δὲ ὁ θάμνος ὀποῦ μεστὸς ὥσπερ τιθύμαλος. Δύναμιν δὲ ἔχει καθαρτικὴν κοιλίας τὰ σπέρματα, ὅσον ζ΄ ἢ η΄. τὸν ἀριθμὸν λαμβανόμενα ἐν καταποτίῳ, ἢ ἐσθιόμενα καὶ καταπινόμενα μετ᾽ ἰσχάδων ἢ φοινίκων, ὕδατος ψυχροῦ ἐπιρροφου-

dam in locis frutex hic prægrãdis inuenitur. Detrahit per aluum radix, drachmis duab⁹ data in aqua mulſa: item ſeminis drachma: ſucci cum farina ſubacti cochlearium, in catapotio datur: modus foliorum drachmæ tres.

Lathyris. Cap. CLXVII.

Lathyris, quam aliqui tithymalum appellant, eamq́; tithymalorum numero adſcribunt, caulẽ emittit cubiti altitudine, & digitali craſsitudine, inanẽ: gignuntur in cacumine alæ, & folia in caule oblõga, amygdalinis proxima, latiora, & lęuiora: quæ autẽ in ſummis ramulis exierunt, minora conſpiciuntur, ariſtolochiæ, aut oblongæ hederæ figura. In cacumine fructum ſummis ſurculis gerit, triplici loculamẽto inſignem, rotundũ, ceu capparim, in quo grana incurſantibus membranis inter ſe diſtincta continentur, eruis maiora, rotunda: quæ dum corticibus exuũtur, cãdida ſunt, & guſtu dulcia: Nullus radicis vſus. totus frutex lacteo ſucco turget, vti tithymalus. Grana ſex aut ſeptem in catapotio, aut cum ficis, aut palmulis deuorata, aluum purgant: ſed aqua frigida poſtea

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0539-2
DFG

ſtea ſorbenda: trahunt autem bilem, pituitam, & aquas. Succus, tithymali modo exceptus, eundem effectum præbet. Cum gallinaceo aut oleribus folia decoquuntur ad eoſdem effectus.

Peplus. Cap. CLXVIII.

PEPLOS frutex eſt lactei ſucci plenus, foliis paruis, vt rutæ, paulò latioribus: rotunda coma, ferè dodrantali, humi reſperſa: ſemine ſub foliis rotundo, minore quàm candidi papaueris: pluribus ſcatet auxiliis, vnicam radicem habet, ſuperuacuam, ex qua fruticat: naſcitur inter vites, & in hortis. Colligitur meſsibus: ſiccatur in vmbra, & continuè verſatur. Fructus tuſus, & ferue factus reconditur. Bilis ac pituita detrahitur, acetabulo eius in hydromelitis cyatho poto: obſonij inſperſa conturbat aluum: muria conditur.

Peplis. Cap: CLXIX.

Peplis, quam aliqui ſylueſtrẽ portulacam vocant. Hippocrates pepliõ, in maritimis maximè naſcitur, latè opaco frutice: candidi ſucci pleno: foliis

ſatiuæ

ἐπιῤῥοφούμενον· ἄγει γὰρ φλέγμα καὶ χολὴν καὶ ὕδωρ. καὶ ὁ ὀπὸς ἀναληφθεὶς ὥσπερ ὁ τοῦ τιθυμάλου τὸ αὐτὸ ποιεῖ. συνέψεται δὲ καὶ ὄρνιθι ἢ λαχάνοις τὰ φύλλα πρὸς τὴν αὐτὴν ἐνέργειαν.

Περὶ Πέπλου. Κεφ. ρξή.

Πέπλος, οἱ δὲ, συκῆν, οἱ δὲ μήκωνα ἀφρώδη καλοῦσι, θαμνίσκος ἐστὶν ὀποῦ λευκοῦ μεστὸς, ἔχων φύλλον μικρὸν, ὅμοιον πηγάνῳ, πλατύτερον δέ· ἡ δὲ σύμπασα κόμη ὡς σπιθαμῆς, περιφερὴς, ἐκκεχυμένη ἐπὶ τῆς γῆς· καὶ ὑπὸ τοῖς φύλλοις καρπὸς μικρὸς, στρογγύλος, ἥττων τῆς λευκῆς μήκωνος· πολύχρηστος δὲ ἡ πόα ῥίζαν ἔχουσα μίαν ἄχρηστον, ἀφ' ἧς ὅλος ὁ θάμνος πέφυκε· γεννᾶται δὲ ἐν κήποις καὶ ἀμπελῶσι. Συνάγεται ἐν πυραμητῷ ξηραινομένη ἐν σκιᾷ, καὶ συνεχῶς στρεφομένη. ἀποτίθεται δὲ ὁ καρπὸς κοπεὶς καὶ ἀποβρασθείς. ἄγει δὲ φλέγμα καὶ χολὴν ὀξυβάφου πλῆθος, μετὰ ὑδρομέλιτος* κυάθου πινόμενος· καὶ ἐν* προσοψήμασι δὲ μιγνύμενος ταράσσει τὴν κοιλίαν, ταριχεύεται δὲ εἰς ἁλμαίας.

Περὶ πεπλίδος. Κε. ρξθ΄.

Πεπλὶς, οἱ δὲ ἀνδράχνην ἀγρίαν, Ιπποκράτης δὲ πέπλιον καλεῖ· φύεται μάλιστα ἐν παραθαλασσίοις τόποις, θάμνος ἀμφιλαφὴς, ὀποῦ μεστὸς λευκοῦ· φύλλα

ἔχων ὅμοια τῇ κηπαίᾳ ἀνδράχνῃ, περιφερῆ δὲ καὶ ἐκ τοῦ κάτω ἔχοντα ἐνερευθές· καὶ ὁ καρπὸς δὲ στρογγύλος ὑποκάτω τῶν φύλλων, ὥσπερ τοῦ πέπλου, πυρώδης τῇ γεύσει. ῥίζα λεπτή, μία, ἄχρηστος. συλλέγεται δὲ καὶ ἀποτίθεται, καὶ δίδοται ὥσπερ ὁ πέπλος, καὶ ταριχεύεται. Δύναμιν δὲ ἔχει τὴν αὐτήν.

Περὶ Χαμαισύκης.

Κεφ. ρό.

Χαμαισύκην, οἱ δὲ συκῆν καλοῦσι, κλῶνας ἀνίησι τετραδακτύλους ἐπὶ γῆς ἐῤῥιμμένους, περιφερεῖς, ὀποῦ μεστούς· φύλλα φακοειδῆ, τῷ πέπλῳ ὅμοια, μικρά, λεπτά, πρὸς τῇ γῇ· καρπὸς δὲ ὑπὸ τοῖς φύλλοις στρογγύλος ὡς πέπλου· οὔτε δὲ ἄνθος, οὔτε καυλὸν ἔχει· ῥίζαν λεπτὴν καὶ ἄχρηστον. Δύναμιν δὲ ἔχουσιν οἱ χλῶνες λεανθέντες σὺν οἴνῳ, τὰς περὶ μήτραν ὀδύνας παύειν, ἀντὶ πεσσοῦ προστεθέντες· καταπλασσόμενοι δὲ οἰδήματα ἀκροχορδόνας καὶ μυρμηκίας αἴρουσιν· ἑφθοὶ δὲ ἐσθιόμενοι κοιλίαν ἐκλύουσι. καὶ ὁ ἐξ αὐτῶν δὲ ὀπὸς τὰ αὐτὰ δρᾷ καὶ καταχριόμενος, σκορπίου πληγῇ βοηθεῖ· ἁρμόζει καὶ πρὸς ἀμβλυωπίαν καὶ ἀχλὺν, καὶ ἀρχομένας ὑποχύσεις, οὐλὰς, νεφέλεια, σὺν μέλιτι ἐγχριόμενος. φύεται ἐν πετρώδεσι καὶ αὐχμηροῖς τόποις;

ſatiuæ portulacæ, rotundis, infernè rubentibus: ſemine ſub foliis rotundo, vti in peplo, feruente guſtu: radice ſingulari, ſuperuacua, tenui. Colligi & reponi ac dari, vti peplos, & ſale cōdiri ſolet. Eaſdem habet vires.

Chamæſyce. Cap. CLXX.

CHAMÆSYCEN aliqui ſycen nominant, ramos emittit quaternûm digitorum, teretes, ſuccoſos, in terram deiectos: folia lentis, parua, peplum planè referentia, tenuia, quæ à terra non attollũtur: ſemine ſub foliis rotundo, vt in peplo: neque caulem, neque florem promit: radice firmatur tenui, ſuperuacanea. Rami ex vino triti vuluæ dolores ſedant in peſſo appoſiti: tollunt tumores ac verrucas omnium generum illiti: decoctorum cibo, aluus reſoluitur. Succus ſimili effectu prodeſt: illitus contra ſcorpionis ictum auxiliatur: aduerſus caligines oculorum vtilis, & hebetudines, incipientes ſuffuſiones, nubeculas, cicatrices, cum melle inunct⁹. In ſquallidis petroſiſque naſcitur.

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0541-9
DFG

Scãmonia. Cap. CLXXI.

Scãmonia,ramos ab vna radice emittit trium cubitorum, multos,pingues, & qui nonnihil craſſitudinis præ ſe ferant: foliis helxinæ, aut hederaceis, mollioribus tamen,hirſutis, & triangulis:flore candido, rotũdo,in calathi modũ cauo,graueolente:radice prælõga,craſſitudine cubitali,cãdida, graui odore,ſucco grauida.Legit̃ ad hunc modũ ſuccus:Capite exempto,radix in teſtudinis ſpeciem cultro excauatur, quo fit vt in cauũ confluat ſuccus, qui conchis demum excipitur.Alij ſcrobes in terra concamerato ſinu fodiunt,in quos, ſubiectis iuglandũ foliis,profundũt ſuccum,ſiccatumq; extrahũt.Laudatur autẽ ſcãmoniũ leue, nitidum, rarũ & colore quãſimillimum taurino glutini, fungoſum,tenuibus fiſtulis, quale ex Myſia regione Aſiæ deportat̃. Nec attendere ſolum par eſt,ſi linguæ tactu albeſcat(hoc enĩ euenit adulterato, qđ admiſto fit tithymali lacte)ſed lõgè magis antea narratis. item ſi non vehemẽter linguam exurat, id quod miſti tithymali argumẽtum eſt.Natione autẽ Syriacũ & Iudaicũ deterrima habetur,

grauia,

Περὶ Σκαμμωνίας. Κεφ. ροα.

Σκαμμωνία κλῶνας ἀνίησι πολλοὺς,ἀπὸ μιᾶς ῥίζης τριπήχεις, λιπαροὺς, ἐμφαίνοντάς* τι παχύτητος· καὶ τὰ φύλλα δὲ δασέα. ὅμοια ἑλξίνῃ ἢ κιττῷ, μαλακώτερα μέντοι καὶ τριγωνοειδεῖ· ἄνθη λευκὰ, περιφερῆ,κοῖλα ὡς οἱ κάλαθοι,βαρύοσμα· ῥίζα δὲ ἐυμήκης,παχεῖα ὅσον* πῆχυς, λευκὴ βαρύοσμος,ὀποῦ μεστή.Συλλέγεται δὲ ὁ ὀπὸς τῆς κεφαλῆς ἀπὸ τῆς ῥίζης ἀφαιρουμένης, καὶ θολοειδῶς τεμνομένης εἰς κοιλότητα,συρρεῖ γὰρ εἰς αὐτὴν ὁ ὀπὸς καὶ οὕτως ἀναλαμβάνεται εἰς μύακας. ἔνιοι δὲ τὴν γῆν ὀρύξαντες,θολοειδῶς καρύας φύλλα ὑποθέντες,καταχέουσι τὸν ὀπὸν, καὶ οὕτω ξηρανθέντα ἀναιροῦνται. ἔστι δὲ καλὸς ὁ διαυγὴς καὶ κοῦφος,ἀραιὸς, ταυροκολλώδης τὴν χρόαν, σήραγγας ἔχων λεπτὰς, σπογγώδης, τοιοῦτος δέ ἐστιν ὁ ἐκ Μυσίας τῆς κατὰ τὴν ἀσίαν κομιζόμενος. μὴ προσέχειν δὲ μόνον τῷ λευκαίνεσθαι αὐτὸν, κατὰ τὴν τῆς γλώττης θίξιν(τοῦτο γὰρ γίνεται καὶ παραμιγέντος αὐτῷ ὀποῦ τιθυμάλου) μᾶλλον δὲ τοῖς προειρημένοις. καὶ τῷ μὴ λίαν πυροῦν τὴν γλῶσσαν, ὅπερ γίνεται τιθυμάλου μιγέντος. ὁ δὲ συριακὸς καὶ ὁ ἐν ἰουδαίᾳ γινόμενος χείριστοι βαρεῖς, πυκνοὶ, δολούμενοι τιθυμάλῳ, καὶ ὀροβίνῳ ἀλεύρῳ. Δύναμιν δὲ ἔχει ὁ ὀπὸς ληφθεὶς σὺν μελικράτῳ, ἢ ὕδατι πλῆθος < ἢ τετρωβόλου, καθαίρειν κάτω χολὴν καὶ φλέγμα. εἰς δὲ τὸ λῦσαι τὴν κοιλίαν ἀρκέσουσιν ὀβολοὶ β΄. μετὰ σησάμου ἢ τινὸς ἄλλου σπέρματος λαμβανόμενοι. δίδονται καὶ πρὸς ἐνεργεστέραν κάθαρσιν τοῦ μὲν ὀποῦ τριώβολον, ἐλλεβόρου δὲ μέλανος ὀβολοὶ β΄. καὶ *ἀλόης < ά. σκευάζονται δὲ καὶ ἅλες καθαρτικοὶ πρὸς κυάθοις ς΄. τῶν ἁλῶν ὁλκῶν κ΄. τῆς σκαμμωνίας τοῦ ὀποῦ μιγνυμένου. λαμβάνεται δὲ πρὸς δύναμιν τὸ μὲν τέλειον, τρία κοχλιάρια· μέσον δὲ β΄· τὸ δὲ ἐλάχιστον ά. καθαίρει δὲ καὶ τῆς ῥίζης < ά. ἢ β΄. σὺν οἷς εἴρηται. ἔνιοι δὲ ἀφέψοντες αὐτὴν, πίνουσι. συνεψηθεῖσα δὲ ὄξει καὶ λεανθεῖσα μετὰ ἀλεύρου κριθίνου, ἰσχιαδικῶν ἐστι κατάπλασμα. ὁ δὲ ὀπὸς προστιθέμενος ἐν ἐρίῳ τῇ μήτρᾳ, ἔμβρυα φθείρει· διαφορεῖ δὲ καὶ φύματα σὺν μέλιτι ἢ ἐλαίῳ καταχριόμενος· ἑψηθεὶς δὲ ἐν ὄξει καὶ καταχρισθεὶς, λέπρας ἐξάγει· κεφαλαλγίας τε χρονίας ἐστὶν ἐπίβρεγμα σὺν ὄξει καὶ ῥοδίνῳ.

Περὶ Χαμελαίας. Κεφ. ροβ΄.

Χαμελαία, οἱ δὲ πυρὸς ἄχνη ἢ ἄκνηστος, οἱ δὲ κόκκος κνίδειος·

κλῶνας

grauia, denſa, erui farina, & tithymalo vitiata. Succꝰ drachmæ vnius aut quaternûm obolorum pondere hauſtus, ex aqua pura vel mulſa, per inferna bilem & pituitam extrahit. Ad reſoluendam aluum binos obolos cum ſeſama, alióve ſemine, ſumpſiſſe ſatis eſt. Dantur efficacioris purgatiõis cauſa, ſucci tres oboli, cum duobus veratri nigri & aloës drachma vna. Fiunt purgatorij ſales, drachmis viginti ſucci ſcãmoniæ, in ſenos ſalis cyathos adiectis. Horum modus proportione virium: integer quidem, tria cochlearia: medius, duo: minimus, vnum. Radicis drachmæ vna aut altera purgat, cum iis quæ retulimus. Nonnulli decoctum radicis ebibunt. Coquitur in aceto, & cum ordeacea farina teritur, cataplaſmate iſchiadicis vtili. Partus enecat ſuccus, vuluæ in lana ſubditus: tubercula diſcutit cum melle aut oleo illitus: decocto in aceto perunctę lepræ abiguntur: diuturni capitis dolores ex aceto & roſaceo perfunduntur.

Chamelæa. Cap. CLXXII.

Chamelæa ſurculoſa fruticat, ramis dodrantalibus: folia oleæ ſimilitudinem habent, tenuiora & amara, quæ guſtata linguam mordent, & arteriam deradunt. Detrahit pituitam bilémque, foliis prȩſertim in catapotio deuoratis: nãque duæ abſinthij partes, adiecta chamelææ vna, hydromelite excipiuntur, & in catapotia coguntur: ea autem in vẽtre non liqueſcunt: ſiquidem quotquot fuere deuorata, regeruntur. Foliis cum melle tritis ſordida vlcera & cruſtoſa repurgantur.

Thymelæa. Cap. CLXXIII.

THYMELÆA eſt, qua granum gnidium, quod eſt ſemen ipſius, colligitur. Hoc Syri apolinum vocant, quoniam ſatiui lini frutex ſuapte natura ſimilitudinem referat. Virgas ædit perpulchras, multas, tenues, binûm cubitorum altitudine: foliis chamelææ, anguſtioribus, & pinguioribus, viſcoſis, gummoſiſq; ſi mordeãtur: flore candido: fructu myrti in modum rotundo, qui inter initia viret, & tãdem rubeſcit: inuolucrum fructus durũ, foris nigrum intus album. Hoc per inferna bilem, pituitam,

aquasq;

κλῶνας μὲν ἔχει σπιθαμιαίους, ὁ δὲ θάμνος φρυγανώδης· φύλλα ἔχει ἐλαίᾳ παραπλήσια, λεπτότερα δὲ καὶ πυκνὰ, καὶ πικρὰ, δάκνοντα τὴν γεῦσιν, καὶ χαράττοντα τὴν ἀρτηρίαν. Ταύτης τὰ φύλλα κάτω καθαίρει φλέγμα καὶ χολὴν, μάλιστα ἐν καταποτίῳ λαμβανόμενα. μιγνυμένου διπλασίονος ἀψινθίου πρὸς ἓν μέρος τῆς χαμελαίας ἀναλαμβανέσθω δὲ ὕδατι ἢ μέλιτι εἰς καταπότιον· ἔστι δὲ ἄτηκτα. διαχωρεῖται γὰρ ὅσα λαμβάνεται. ἀναλαμβανόμενα λεῖα τὰ φύλλα μετὰ μέλιτος ἀνακαθαίρει τὰ ῥυπαρὰ ἕλκη καὶ ἐσχαρωμένα.

Περὶ Θυμελαίας. Κεφ. ϱογ´.

Θυμελαία, οἱ δὲ χαμελαίαν, οἱ δὲ πυρὸς ἄχνην, ἢ κέστρον ἢ κνέωρον καλοῦσιν, ἐκ ταύτης ὁ κνίδειος κόκκος καρπὸς ὢν συλλέγεται. ὃν* εὐβοεῖς μὲν αἰτώλιον καλοῦσιν, οἱ δὲ λῖνον, διὰ τὸ εἶναι τῷ σπαρτῷ λίνῳ θάμνον τῇ φύσει παρόμοιον. ῥάβδους δὲ ἀνίησι καλὰς καὶ πολλὰς ὅσον διπήχεις· τὰ δὲ φύλλα χαμελαίᾳ ὅμοια, πλὴν στενώτερα καὶ λιπαρώτερα ὑπόγλισχρα ἐν τῷ διαμασᾶσθαι καὶ κολλώδη· ἄνθη λευκά· καὶ μεταξὺ αὐτῶν ὁ καρπὸς, ὡς μύρτον μικρὸς, στρογγύλος, ἐν ἀρχῇ μὲν χλωρὸς, αὖθις δὲ ἐρυθρός· τὸ δὲ περικάρπιον σκληρὸν καὶ μέλαν, τὸ δ᾽ ἐντὸς λευκόν. Ὅπερ καθαίρει κάτω χολὴν καὶ φλέγμα

καὶ ὕδωρ, ὅσον κ΄. κόκκων τὸ ἐντὸς ποθέν· καίει δὲ τὴν φάρυγγα. διὸ μετὰ ἀλεύρου ἢ ἀλφίτου δοτέον, ἢ ἐν ῥαγὶ σταφυλῆς ἢ μέλιτι ἑφθῷ περιειλημμένον καταπιεῖν. συγχρίειν δὲ καὶ τοὺς δυσιδροῦς λεῖον μετὰ νίτρου καὶ ὄξους. τὰ δὲ φύλλα ἅπερ ἰδίως καλεῖται κνέωρον, συλλέγειν δεῖ περὶ τὸν πυραμητὸν, καὶ ἀποτίθεσθαι ξηράναντας ἐν σκιᾷ. διδόντας δὲ δεῖ κόπτειν καὶ ἀφαιρεῖν τὰς ἐν αὐτοῖς ἶνας. καθαίρει δὲ ἐπιπλασσόμενον ὅσον ὀξυβάφου πλῆθος μετὰ κράματος ἄγον ὑδατῶδες· μετριωτέραν δὲ ποιεῖ τὴν κάθαρσιν μιχθὲν ἑφθῇ φακῇ καὶ λαχάνοις τριπτοῖς. ἀποτίθεται δὲ λεῖα ἀναληφθέντα ὄμφακος χυλῷ εἰς ἀρτίσκους. ἔστι δὲ κακοστόμαχος ἡ βοτάνη· προστεθεῖσα δὲ ἔμβρυα κτείνει. φύεται ἐν ὀρεινοῖς καὶ τραχέσι τόποις. Πλανῶνται δὲ νομίζοντες τὸν κνίδειον κόκκον, τῆς χαμελαίας εἶναι καρπὸν, ἀπατώμενοι διὰ τὸ τῶν φύλλων ὁμοειδές.

Περὶ Ἀκτῆς. Κεφ. ροδ΄.

Ἀκτὴ διττή ἐστιν· ἡ μὲν, γάρ τις ἐστὶ δενδρώδης, κλάδοις καλαμοειδεῖς ἔχουσα, στρογγύλους, ὑποκοίλους, ὑπολεύκοις, εὐμήκεις· τὰ φύλλα γ΄ ἢ δ΄. ἐκ διαστημάτων περὶ τὴν ῥάβδον, καρύᾳ βασιλικῇ ὅμοια, βαρύοσμά τε καὶ *τμητικώτερα· ἐπ᾽ ἄκρων δὲ τῶν κλάδων

aquaſq; detrahit, ſi viginti granorum pars interna bibatur: verùm fauces adurit. Itaq; cum farina aut polenta, aut in vuæ acino dari debet, aut melle cocto obductum deuorari. Qui ægrè deſudant, trito ſemine cũ nitro & aceto, inunguntur. Folia, quæ peculiariter cneorum appellantur, per meſſes colligi debent, & ſiccata in vmbra recondi. Quibus dare libeat, anteà tundere, & neruos eximere conuenit. Illitum acetabuli modo cũ diluta vini potione, aquã extrahit: mediocrius purgat, addita lente cocta, aut cõtritis oleribus. Thymelææ farina vuæ acerbæ ſucco excipit, & in paſtillos diuiditur. Herba ſtomacho infeſta, partus impoſita necat. Naſcitur in mõtibus & aſperis. Hallucinãtur, q̃ coccon gnidium fructũ eſſe chamelææ exiſtimãt, decepti quadam foliorum ſimilitudine.

Sãbucus. Cap. CLXXIIII.

Sãbuci duo genera: vnũ in arboré aſſurgit, ſurculos ſpargés arũdinaceos, teretes, cauos, cãdicãtes, ꝓceros: folia iuglandis, terna quaternáve, ex interuallis circa ramos exeunt, grauia odore, minutim in ãbitu ſecta: & in ramulorum cacuminib⁹,

cauliculiſq; circinatæ vmbellæ, quæ florem candidum pariunt, mox acinum terebintho ſimilem, in nigredine ſuppurpureum, racemoſum, ſucco madentem, vinoſumq;.

Chamæacte. Cap.LXXV.

Alterum genus, Chamæacte vocatur, Romanis ebulum longè humilius eſt, magíſque herbaceo generi aſsignãdum, caule quadrangulo, geniculato: foliis amygdalæ, ex interuallo longioribus, geniculatim expanſis, pinnatíſque, graueolentibus, in ambitu ſerratis: muſcario ſambuci: flore & acino eiuſdem: radice nititur longa, craſsitudine digitali. Eadem vtriusque vis, & vſus exiccans, aluo detrahens aquam, ſtomacho inutilis. Folia, olerum more coquuntur, ad pituitam bilémque detrahendam. Caules teneri in patinis cocti, eadem efficiunt. Radix in vino decocta, & in cibis data, hydropicos adiuuat: prodeſt viperarum morſibus, eodem pota modo: vuluas emollit inſidentium decocto, patefacit earum ſpiracula, & vitia corrigit. Acini in vino poti eodem fungũtur munere: denigrant capillos illiti.

ἢ τῶν καυλῶν, σκιάδια περιφερῆ, ἔχοντα ἄνθη λευκά· καρπὸν δὲ ἐοικότα *τερμίνθῳ ἐν τῷ μέλανι ὑποπόρφυρον, βοτρυώδη, πολύχυλον, οἰνώδη.

Περὶ Χαμαιάκτης. Κεφ. ροέ.

Τὸ δὲ ἕτερον αὐτῆς χαμαιάκτη καλεῖται· αὕτη χαμαιπετὴς οὖσα ἐλάσσων ἐστὶ καὶ βοτανωδεστέρα, καυλὸν ἔχουσα τετράγωνον καὶ πολυγόνατον· τὰ δὲ φύλλα ἐκ διαστημάτων περὶ ἕκαστον γόνυ τεταρσωμένα, ὅμοια ἀμυγδαλῇ, κεχαραγμένα δὲ κύκλῳ καὶ μακρότερα, βαρύοσμα· σκιάδιον δὲ ἐπ᾽ ἄκρου ὅμοιον τῇ περὶ αὐτοῦ ἔχουσα, καὶ ἄνθος καὶ καρπόν· ῥίζα δ᾽ ὕπεστι μακρά, δακτύλου πάχος. Δύναμις δὲ ἡ αὐτὴ ἀμφοτέραις καὶ χρῆσις, ξηραντική, *ὑδραγωγός, κακοστόμαχος μέντοι· ἑψόμενα δὲ τὰ φύλλα ὡς λάχανα, καθαίρει φλέγμα καὶ χολήν. καὶ οἱ καυλοὶ δὲ ἁπαλοὶ ἐν λοπάδι ἑφθέντες τὰ αὐτὰ ποιοῦσιν. ἡ ῥίζα δὲ αὐτῆς ἀφεψηθεῖσα σὺν οἴνῳ καὶ διδομένη παρὰ τὴν δίαιταν, ὑδρωπικοὺς ὠφελεῖ· βοηθεῖ καὶ ἐχιοδήκτοις ὁμοίως πινομένη· ἀφεψηθεῖσα δὲ μεθ᾽ ὕδατος, ἐγκάθισμα. μαλάσσει ὑστέραν καὶ ἀναστομοῖ, καὶ διορθοῦται τὰς περὶ αὐτῆς διαθέσεις. καὶ ὁ καρπὸς δὲ σὺν οἴνῳ ποθεὶς, τὰ αὐτὰ ποιεῖ· μελαίνει δὲ καὶ τρίχας ἐγχριόμενος.

τὰ δὲ φύλλα πρόσφατα καὶ ἁπαλά, φλεγμονὰς πραΰνει μετ' ἀλφίτων καταπλαττόμενα· καὶ κατακαύμασιν ἁρμόζει καὶ κυνοδήκτοις καταπλασσόμενα· κολλᾷ δὲ ὑποφορὰς, καὶ ποδαγρικοῖς βοηθεῖ, μετ' στέατος ταυρείου ἢ τραγείου καταπλασσόμενα.

Περὶ πυκνοκόμου. Κεφ. ρος΄.

Πυκνόκομον φύλλα ἔχει ὅμοια εὐζώμῳ, τραχέα δὲ καὶ παχέα καὶ δριμύτερα· καυλὸν τετράγωνον· ἄνθος δὲ τῷ τοῦ ὠκίμου ἐμφερές· καρπὸν δέ, ὡς* πρασίου· ῥίζαν μέλαιναν, στρογγύλην, ὠχρὰν, ὡς μικρὸν μῆλον, γεῶδες ὄζουσαν· φύεται ἐν πετρώδεσι τόποις. Δύναμιν δὲ ἔχει ὁ καρπὸς ποθεὶς ὅσον < ά πλῆθος, ταραχώδη καὶ δεινὰ ἐνύπνια ποιεῖν· διαφορεῖ δὲ καὶ οἰδήματα ἐπιπλαττόμενος σὺν ἀλφίτῳ, καὶ ἀκίδας καὶ σκόλοπας ἐξάγει. καὶ τὰ φύλλα δὲ καταπλαττόμενα, φύματα καὶ δοθιῆνας διαφορεῖ. ἡ δὲ ῥίζα αὐτοῦ λυτικὴ κοιλίας καὶ κινητικὴ χολῆς, δίδοται < β΄. ἐν μελικράτῳ.

Περὶ Ἀπίου. Κεφ. ροζ΄.

Ἄπιος, οἱ δέ, ἰσχάδα, οἱ δέ, χαμαιβάλανος, ὀρεινὴ ἢ ἀγρία, οἱ δέ, λινόζωστις, κλωνία δύο ἢ τρία ἀπὸ γῆς ἀνίησι, σχοινώδη, λεπτά, ἐρυθρὰ μικρὸν ὑπὲρ τῆς γῆς αἴροντα· φύλλα πηγάνῳ ἐοικότα, ἐπιμηκέστερα μέντοι καὶ στενότερα, χλωρά·

Folia, ſi prætenera ac mollia ex polenta illinantur, inflãmationem mitigant: ambuſtis & canis morſib⁹ illitu ꝓſunt: vlcera quæ dehiſcunt in fiſtulã, agglutinant: iis qui podagra tentantur, cum ſeuo taurino aut hircino proſunt illita folia.

Picnocomũ. Ca. CLXXVI.

Picnocomon conſtat erucæ foliis, acrioribus, ſcabris, & craſsis: caule quadrangulo: flore ocymi: ſemine marubij: radice nigra, aut pallida, rotunda, exigui mali figura, terram redolẽte: inuenitur in ſaxoſis locis. Semen grauia ſomnia & tumultuoſa facit, drachmæ inſtar potum: tumores diſcutit, illitum cum polenta & ſpicula, adactóſque corpori aculeos, extrahit. Folia illitu tubercula, panóſq; diſcutiũt. Radix eius in aqua mulſa duûm drachmarum pondere, aluum ſoluit, & bilem extrahit.

Apios. Cap. CLXXVII.

APIOS RAMVLOS duos, ſiue tres iunceos ſpargit, rubros, tenues, qui à terra parum attolluntur: foliis rutæ, oblongioribus tamen, & anguſtioribus, herbaceis:

ſemine paruo, radice haſtulæ regiæ, in formam pyri turbinata, rotundiore tamen, ſucci fœcunda, intus habet corpus candidum, extra cortices nigros. Superior pars eius vomitione bilem pituitáſque extrahit: inferior, per aluum: tota vtrinque purgationes mouet. Succum ſi libet eximere, tuſa radix in fictili mergitur, & agitata aqua, quod ſupernatat pēna ſelectū, exiccat̃. Purgat vtraque parte is ſuccus, ſeſquiobolo pot⁹.

Colocynthis. Cap. LXXVIII.

Colocynthis ſarmenta foliáque ſatiui cucumeris emittit, per terram repentia, diuiſa, fructum in ſpeciem mediocris pilæ conglomeratum vehementer amarum: quem legere oportet, cum cœperit in pallidum colorem permutari. Medulla fructus purgatoriam vim habet, ſi quatuor oboli cum aqua mulſa, melle cocto, myrrha & nitro excipiātur, & cogātur in catapotium. Arefactæ pilæ teruntur, & infuſæ clyſteribus proſunt neruorum reſolutioni, coxendicum dolorib⁹, & coli vitiis, ~~vt~~ quæ bilem, pituitam & ſtrigmenta, interdum

καρπὸς μικρός. ῥίζα* ἀσφοδέλῳ παραπλησία ϗ πρὸς τὸ τῆς ἀπίου σχῆμα, στρογγυλωτέρα δὲ, μεστὴ ὀποῦ. φλοιὸν ἔχουσα ἔξωθεν μέλανα, ἔνδοθεν δὲ λευκόν. Ταύτης τὸ μὲν ἔνδοθεν μέρος τῆς ῥίζης ληφθὲν, δι' ἐμέτων ἄγει χολὴν ϗ φλέγμα· τὸ δὲ πρὸς τῇ ῥίζῃ κάτω καθαίρει· ὅλη δὲ ληφθεῖσα, ἀμφοτέρας τὰς καθάρσεις κινεῖ. ὀπίσαι δὲ βουληθεὶς, κόπτε τὰς ῥίζας, ϗ βαλὼν εἰς κρατῆρα ὕδατος συντάραττε, ϗ τὸν ἐφιστάμενον ὀπὸν πτερῷ ἀναλέγων ξήραινε. τούτου τρία ἡμιωβόλια ποθέντα, ἄνω ϗ κάτω καθαίρει.

Περὶ κολοκυνθίδος. Κεφ. ροή.

Κολοκυνθὶς, οἱ δὲ, κολόκυνθα ἀγρὸς, οἱ δὲ, σικύαν πικρὰν, οἱ δὲ, κολόκυνθα ἀλεξανδρίνη, κλημάτια ϗ φύλλα ἐστρωμένα ἐπὶ τῆς γῆς ἀνίησιν, ὅμοια τοῖς τοῦ ἡμέρου σικύου, ἐπεσχισμένα· καρπὸν δὲ περιφερῆ, ὅμοιον σφαίρᾳ μέσῃ, πικρὸν ἰσχυρῶς· ὃν δεῖ συνάγειν ἀρχόμενον μεταβάλλειν ἐπὶ τὸ ὠχρότερον. Δύναμιν δὲ ἔχει ἡ μὲν ἐντεριώνη τοῦ καρποῦ καθαρτικὴν, τετρωβόλου πλῆθος μετ' ὑδρομέλιτος λαμβανομένη σὺν νίτρῳ ϗ σμύρνῃ ϗ μέλιτι ἑφθῷ εἰς καταπότιον. αὗται δὲ αἱ σφαῖραι ξηραὶ λεῖαι, ὠφελίμως μίγνυνται κλύσμασιν ἐπὶ ἰσχιαδικῶν, ϗ παραλυτικῶν, ϗ κωλικῶν, ἄγουσαι φλέγμα καὶ χολὴν καὶ ξύσμα,

ἔσθ'

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0548-0
DFG

ἔσθ' ὅτε δὲ καὶ αἱματῶδες· ἔμβρυά τε φθείρουσι προστιθέμεναι· ὀδονταλγίας τε διάκλυσμα, ἐάν τις ἐκκαθάρας αὐτὴν καὶ περιπλάσας πηλῷ, ἐναποζέσας τε ἐν ὄξει καὶ νίτρῳ, δῷ διακλύζεσθαι· εἰ δέ τις ἐναφεψήσας μελίκρατον ἢ καὶ γλυκὺ καὶ ἐξαιθριάσας δῷ πιεῖν, καθαίρει πάχος καὶ ξύσμα· ἔστι δὲ κακοστόμαχος λίαν· προστίθεται δὲ καὶ βάλανος ἐξ αὐτῆς, πρὸς κομιδὴν τῶν περιττωμάτων. καὶ χλωρᾶς δὲ αὐτῆς ὁ χυλὸς, ἐπὶ ἰσχιαδικῶν ἀνατριβόμενος ἁρμόζει.

Περὶ Ἐπιθύμου. Κεφ. ροθ΄.

Ἐπίθυμον θύμου ἐστὶν ἄνθος τοῦ σκληροτέρου καὶ θύμβρᾳ ἐοικότος, ἔχει δὲ κεφάλια λεπτὰ, κοῦφα, οὐραγοὺς ἔχοντα ὡς τρίχας. Πινόμενον δὲ σὺν μέλιτι, κάτω καθαίρει φλέγμα καὶ χολὴν μέλαιναν. ἰδίως ἁρμόζον ἐπὶ μελαγχολικῶν καὶ ἐμπνευματουμένων, ὀξυβάφου πλῆθος πρὸς ὁλκὴν < δ΄. σὺν μέλιτι καὶ ἁλσὶ καὶ ὀλίγῳ ὄξει. γεννᾶται δὲ πλεῖστον ἐν καππαδοκίᾳ καὶ παμφυλίᾳ.

Περὶ Ἀλύπου. Κεφ. ρπ΄.

Ἄλυπον φρυγανώδης ἐστὶ πόα, ὑπέρυθρος, *λεπτόκαρφος, λεπτόφυλλος· ἄνθους μαλακοῦ καὶ κούφου μεστὴ, ὡς ῥίζα τεύτλου λεπτή. μεστὴ ὀποῦ δριμέος· σπέρμα ὡς ἐπιθύμου. γεννᾶται δὲ ἐν τόποις παραθαλασσίοις,

interdum etiam cruorē eliciāt: fœtus admotę enecant: dentiū dolorem tollit, ſi vna repurgetur & luto oblita cū aceto & nitro inferueſcat, hócque iure decocti dentes colluantur: ſi aqua mulſa aut paſſum in eadem incoquatur, & ſub diuo refrigeſcat, potu craſſum humorem & ſtrigmenta alui detrahet: ſtomacho ſupra modū aduerſatur: ſubdita ex ea balano alui excremēta eiiciuntur. Virētis ſucco vtiliſsimè iſchiadici perfricantur.

Epithymū. Cap. CLXXIX.

Epithymon, flos eſt è thymo duriore, ſatureię ſimili: capitula habet tenuia, & leuia, & in eis caudiculas, quaſi capillamēta. Potum cum melle detrahit pituitam bilémq; atram, per inferna. Priuatim prodeſt melācholicis, & inflatis, acetabuli mēſura, ad quatuor drachmas, cū melle, ſale, & aceti exiguo. Plurimum in Cappadocia & Pamphylia gignitur.

Alypum. Cap. CLXXX.

Alypon ſurculoſa herba eſt, ſubrubra: gracilibus ramulis: tenuibus foliis: flore molli, leui, & copioſo: radice betæ, tenui, referta acri ſucco: ſemine epithymi: gignitur in maritimis,

Universitäts- und Landesbibliothek Düsseldorf urn:nbn:de:hbz:061:2-194136-p0549-8 DFG

timis, maximè Libyæ, quanquam alibi quoque plurima prouenit. Semen atram bilem deiicit, ſi menſura epitymo pari cum ſale & aceto ſumatur: verùm interanea leuiter exulcerat.

Empetrum ſeu calcifraga.

Cap. CLXXXI.

Empetron aliqui phacoides vocant, naſcitur in montibus, & maritimis, ſalſo guſtu: ſed quo propius terreno fuerit, amarius ſentitur. Trahit bilem, pituitam, & aquã ſi bibatur in iure aliquo, aut hydromelite.

Clematis. Cap. CLXXXII.

Clematis viticuloſum emittit ramulum, rubeſcentẽ. Lentum, folium guſtu admodum acre ac exulcerans, repit per arbores, vt ſmilax, ſemen tritum, pituitam bilémque detrahit, in aqua, aut hydromelite potum. folia eius illita lepras purgant, cum lepidio conditur ad cibos.

Vitis ſyluestris.

Cap. CLXXXIII.

Vitis ſylueſtris ſarmenta vitis modo prælonga emittit, aſpera, lignoſa, rimoſo cortice foliis hortenſis ſolani, longioribus ac latioribus: muſcoſo flore, & capillaceo: fructu

exiguis

θαλασσίοις, μάλιστα τοῖς τῆς Λιβύης τόποις πλεῖστον, καὶ ἄλλοις δὲ χωρίοις πλείστη. Καθαίρει δὲ τὸ σπέρμα μέλαιναν χολὴν κάτω λαμβανόμενον τὸ ἴσον πλῆθος μετ' ἁλῶν τῷ ἐπιθύμῳ καὶ ὄξει· τὰ δὲ ἔντερα ἐλαφρῶς ἑλκοῖ.

Περὶ Ἐμπέτρου.

Κεφ. ρπα'.

Ἔμπετρον, οἱ δὲ, φακοειδὲς, ἐν παραλίοις καὶ ὀρεινοῖς [illegible]ύεται, ἁλυκὸν τῇ γεύσει· τὸ δὲ προσγειότερον, πικρότερον. διδόμενον δὲ ἐν ζωμῷ ἢ ὑδρομέλιτι, καθαίρει φλέγμα καὶ χολὴν καὶ ὑδατώδη.

Περὶ Κληματίτιδος. Κεφ. ρπβ'.

*Κληματῖτις κλῆμα ἀνίησιν ὑπέρυθρον, λυγῶδες, φύλλον δριμὺ, λίαν γευομένῳ καὶ ἑλκωτικόν· περιελίττεται δὲ τοῖς δένδροις ὡς σμίλαξ. Ταύτης ὁ καρπὸς λεῖος μεθ' ὕδατος ἢ ὑδρομέλιτος ποθεὶς, ἄγει κάτω φλέγμα καὶ χολήν. τὰ δὲ φύλλα καταπλασθέντα, λέπρας ἀφίστησι. ταριχεύεται δὲ μετὰ τοῦ λεπιδίου εἰς βρῶσιν.

Περὶ Ἀμπέλου ἀγρίας.

Κεφ. ρπγ'.

*Ἄμπελος ἀγρία κλήματα ἀνίησι μακρὰ, ὡς ἀμπέλου, ξυλώδη, τραχέα, φλοιοῤῥαγοῦντα, φύλλα δὲ ὅμοια στρύχνῳ κηπαίῳ, πλατύτερα δὲ καὶ μακρότερα· ἄνθος ὡς ῥίζας βρυώδεις· καρπὸν δὲ βοτρυδίοις μικροῖς ὅμοιον, πεπαινόμενον ἐρυθρόν· περιφερὲς δέ ἐστι τὸ σχῆμα τῶν κόκκων. Ταύτης ἡ ῥίζα ἀποζεσθεῖσα ἐν οἴνῳ καὶ μεθ' ὕδατος πινομένη τεθαλασσωμένων κυάθων β΄. ὑδατώδεις καθαίρει· δίδοται δὲ καὶ ὑδρωπικοῖς. οἱ δὲ βότρυες ἐφήλεις ἀποκαθαίρουσι καὶ πάντα σπίλον. ταριχεύονται δὲ καὶ οἱ ταύτης ἀκρέμονες ἀρτιφυεῖς εἰς βρῶσιν.

Περὶ ἀμπέλου λευκῆς. Κεφ. ρπδ΄.

Ἄμπελος λευκή, ἢ δὲ βρυωνίαν, οἱ δὲ ὀφιοστάφυλον, οἱ δὲ χελιδόνιον, ἢ μήλωθρον, ἢ ψίλωθρον, ἢ ἀρχέζωστιν, ἢ ἄγρωστιν, ἢ κέδρωστιν καλοῦσι. ταύτης τὰ κλήματα καὶ τὰ φύλλα καὶ οἱ ἕλικες, ὅμοια τῇ ἡμέρῳ ἀμπέλῳ, δασύτερα δὲ πάντα, καὶ ἐμπλέκεται τοῖς παρακειμένοις θάμνοις ἐλλαμβανομένη τοῖς ἕλιξι· καρπὸν δὲ ἔχει βοτρυοειδῆ, πυῤῥόν, ᾧ ψιλοῦνται τὰ δέρματα. ταύτης οἱ ἀσπάραγοι κατὰ τὴν πρώτην ἐκβλάστησιν ἑφθοὶ ἐσθίονται οὔρησιν καὶ κοιλίαν κινοῦντες. Δύναμιν δὲ ἔχει τὰ φύλλα καὶ ὁ καρπὸς καὶ ἡ ῥίζα δριμεῖαν· ὅθεν ἐπὶ τῶν χειρωνίων καὶ γαγγραινικῶν καὶ φαγεδαινικῶν καὶ σαπροκνήμων ἑλκῶν μεθ' ἁλὸς καταπλασσόμενα ποιεῖ. ἡ δὲ ῥίζα χρῶτα ῥίπτει καὶ τετανοῖ καὶ ἔφηλιν ἀποκαθαίρει ἰόνθους, φακούς, οὐλὰς μελαίνας σὺν ὀρόβῳ καὶ γῇ χίᾳ καὶ τήλει καθεψηθεῖσα δὲ μετ'

exiguis vuis ſimilis, poſt maturitatem rubente: rotunda eſt acinorũ facies. Feruefacta radix in aqua, & in cyathis duobꝰ vini aqua marina diluti, pota, humorem alui ciet: ideò hydropicis datur. Vuæ eius, vitia cutis in facie, & maculas omneis expurgant. Enaſcentes viticulæ, cibi gratia ſale condiuntur.

Vitis alba. Cap. CLXXXIIII.

Vitem albam aliqui bryoniam vocant. Foliis viticulis, pampiniſque, ſatiuam vitem imitatur, ſed hirſutiora ſunt omnia: ea quos prope ſe nacta ſit frutices, ſuis clauiculis complectitur: fructus rubens in vua dependet, quo coria pilis ſpoliantur. Ex ea aſparagi, qui prima germinatione exeunt, decocti in cibo, aluum & vrinam cient. Folia, fructus, radix, acrem vim ſortiuntur: itaque vlcerum phagedænis, gangrænis, chironiis, putrentium tibiarum tædio, efficaciter ex ſale illinuntur. Radix corpus abſtergit, & cutem erugat: vitia cutis in facie, varóſque, lentigines, & cicatrices nigras emendat, cum eruo, creta Chia, & fœnogręco. Eodem effectu prodeſt decocta in oleo, vſque dum liqueſcat: ſugillata tollit, & reduuias cōmittit: inflammationes diſcutit illita ex vino: ſuppurationes rumpit: medicamento aptè immiſcetur, quod carnem exeſt: infracta oſſa extrahit, trita & impoſita. Datur comitialibus in potu drachmę pondere, quotidie, anno toto. Prodeſt attonitis, & vertigine laborantibus, conſimiliter aſſumpta. Contra viperarum ictus pota drachmis duabus, auxiliatur: partus necat: mentem interdū ſubturbat: fœminarū locis appoſita, partus ſecundáſq; morantes trahit: cit vrinam pota. Eclegma ex ea fit cum melle, difficile ſpirantibus ſtrangulatu oppreſsis, tuſsiétibus, vulſis, ruptis, & laterū doloribus. Lienem ternis obolis pota ex aceto, triginta diebus, conſumit: illinitur ad eadem cum fico. Ad muliebres inſeſſus decoquitur: ſiquidem vuluas purgat, ſed abortum facit. Succus è radice vere exprimitur, qui trahit pituitam, cum aqua mulſa potus. Ad pſoras & lepras, ſemen efficaciter illinitur. Lactis abundantiam facit ſuccus eius, ſi cum tritico decocto ſorbeatur.

μετ' ἐλαίου μέχρι τακερωθῇ, πρὸς τὰ αὐτὰ ἁρμόζει· αἴρει δὲ καὶ ὑπώπια, καὶ πτερύγια τὰ ἐν δακτύλοις συστέλλει· σὺν δὲ οἴνῳ καταπλασσομένη, διαφορεῖ φλεγμονάς καὶ ἀποστήματα ῥήσσει· ἀνάγει δὲ καὶ ὀστᾶ, λεῖα καταπλασσομένη. σηπταῖς τῶν μίγνυται ἐπιτηδείως· πίνεται δὲ καὶ πρὸς ἐπιληψίας ὁλκὴ α. καθ' ἡμέραν πρὸς ἐνιαυτόν. ὠφελεῖ ἀποπλήκτους καὶ σκοτωματικοὺς ὁμοίως λαμβανομένη. δυοῖν δὲ < ἑλκὴ ποθεῖσα, ἐχιοδήκτοις βοηθεῖ. καὶ ἔμβρυα φθείρει· ὑποταράττει δ' ἐνίοτε τὴν διάνοιαν· * καὶ οὖρα κινεῖ πινομένη, καὶ προστεθεῖσα ὑστέρᾳ ἔμβρυα καὶ δεύτερα ἐπισπᾶται. καὶ *ἔκλεικτον δὲ μετὰ μέλιτος δι' αὐτῆς τοῖς πνιγομένοις, καὶ δυσπνοοῦσι, καὶ βήσσουσι· πλευρὰν τὴν ἀλγοῦσι καὶ ῥήγμασι, καὶ σπάσμασι δίδοται. καὶ σπλῆνα τήκει τριωβόλου ὁλκὴ ποθεῖσα σὺν ὄξει ἐπὶ ἡμέρας λ΄. καὶ καταπλάσσεται δὲ μετὰ σύκου πρὸς τὰ αὐτὰ χρησίμως. ἀφέψεται δὲ καὶ εἰς ἐγκάθισμα· καθαρτικὸν ὑστέρας ὄν, καὶ ἐκβόλιον. χυλίζεται δὲ ἡ ῥίζα αὐτῆς ἔαρος· πίνεται δὲ σὺν μελικράτῳ ὁ χυλὸς πρὸς τὰ αὐτὰ ἄγων φλέγμα. ὁ δὲ καρπὸς ποιεῖ πρὸς ψώρας καὶ λέπρας συγχριόμενος καὶ καταπλαττόμενος. κατασπᾶται δὲ καὶ γάλα ὁ καρπὸς αὐτῆς χυλισθείς. καὶ μετὰ πυρῶν ἑψημένων ῥοφηθείς.

Περὶ Ἀμπέλου μελαίνης.

Κεφ. ρπε΄.

Ἄμπελος μέλαινα, οἱ δὲ βρυωνία μέλαινα, οἱ δὲ χειρώνιον ἄμπελον, φύλλα ἔχει κισσῷ ὅμοια, μᾶλλον δὲ πρὸς τὰ τῆς σμίλακος· καὶ οἱ καυλοὶ, μείζονα δὲ * ταῦτα· ἐλλαμβάνεται δὲ καὶ αὕτη τῶν δένδρων τοῖς ἕλιξι· καρπὸς βοτρυώδης, χλωρὸς κατ᾽ ἀρχὴν, πεπανθεὶς δὲ μέλας γίνεται· ῥίζα μέλαινα ἔξωθεν, ἔνδοθεν δὲ πυξοειδής. Καὶ ταύτης οἱ καυλοὶ κατὰ τὴν πρώτην ἐκβλάστησιν λαχανεύονται· εἰσὶ δὲ καὶ οὐρητικοὶ καὶ καταμηνίων ἀγωγοὶ, τηκτικοὶ σπληνὸς, ἐπιληπτικοῖς, καὶ σκοτωματικοῖς, καὶ παραλυτικοῖς ἁρμόζουσιν· ἔχει δὲ ἡ ῥίζα δύναμιν ὁμοίαν τῇ λευκῇ πρὸς τὰ αὐτὰ ἁρμόζουσαν, ἧττον μέντοι ἐνεργεῖ. ποιεῖ δὲ πρὸς τοὺς τῶν ὑποζυγίων λόφους ἐπειδὰν ἑλκωθῶσι τὰ φύλλα σὺν οἴνῳ καταπλασσόμενα· καὶ πρὸς στρέμματα ὁμοίως ἐπιτίθενται.

Περὶ Πτέριδος. Κεφ. ρπς΄.

Πτέρις, οἱ δὲ, βλῆχνον, οἱ δὲ, πολύῤῥιζον καλοῦσι, φύλλα ἐστὶν ἄκαυλα, καὶ ἀνανθῆ, καὶ ἄκαρπα ἐξ ἑνὸς μόσχου, περὶ πῆχυν τὸ μέγεθος, ἐντετμημένα καὶ ἀνηπλωμένα ὡς πτέρυξ, ὑποδυσώδη· ῥίζαν δὲ ἔχει ἐπιπόλαιον, μέλαιναν, ὑπομήκη, ἐκφύσεις ἔχουσαν πολλὰς, ὑπο-

Vitis nigra.

Cap. CLXXXV.

Nigra vitis. quam aliqui nigram bryoniam vocant, folia fert hederæ, ſmilaceis proxima, ſed maiora: caules etiam cognatos, capreolis ſuis arbores, quaſi adminicula, comprehendit: fructus racematim cohærent, qui inter principia virent, & poſt maturitatem nigreſcunt: radix foris nigra, intus buxeo colore. Viticulæ quæ primo germinum partu erumpunt, in olera recipiuntur: menſes pellunt, vrinas cient, lienem abſumunt, vertiginoſis, comitialibus, neruorum reſolutione tentatis, proſunt. Radix eadem, quæ vitis alba præſtat, ſed inefficacius. Folia cum vino exulceratis iumentorum ceruicibus commodiſsimè illinuntur: luxatis itidem imponuntur.

Filix. Cap. CLXXXVI.

Filici folia ſine caule, ſine fructu, ſine flore, ex vno pediculo, cubitali lõgitudine exeunt multifida, & lateribus pẽnata, ſubgraui odore: radice per ſumma ceſpitũ nigra, oblonga, filices multas fundente, ſubaſtrin ſubaſtringēte guſtu: naſcitur in mōtibus, & ſaxoſis. Radix latas tineas excutit, ſumpta drachmis quatuor ex aqua mulſa: melius ſi cum ſcammoniæ aut veratri nigri totidem obolis detur: ſed qui ſumunt, allia prægustare debent. Laborantes lienis incremento recreat. Radix & potu & illitu cum axungia vulneribus ſagitta arundinea factis, eſt auxilio: cuius rei probatio talis fertur: Peribit filix, quam per ambitū ſata copioſior arūdo coronet: & contrà, euaneſcēs abibit arundo, quam obſepiens multa filix in orbem cinxerit.

Filix fœmina.

Cap. CLXXXVII.

Filix fœmina foliis eſt filicis, ſurculoſis, altioribusq;, & quæ non ſingulari, vt illa, pediculo fulciantur: radicibus lōgis, pluribus, obliquis, quę ex nigro in luteū flaueſcunt: aliquæ etiamnum rubræ inueniuntur. Pellunt lata interaneorum animalia, cum melle, eclegmate ſumpto: potæ cū vino, drachmis tribus, teretes tineas eiiciunt: datæ fœminis, ſterilitatem faciunt, & prægnantibus abortum, ſi ſupergrediantur. Farina humidis vlceribus & cica-

ὑποστυφούσας τῇ γεύσει· φύεται ἐν ὀρεινοῖς καὶ πετρώδεσι τόποις. Ταύτης ἡ ῥίζα ἕλμινθα πλατεῖαν ἐκτινάσσει < δʹ. ἐλκὴ μετὰ μελικράτου λαμβανομένη· βέλτιον δ' εἰ μετὰ σκαμμωνίας ἢ ἐλλεβόρου μέλανος ὀβολῶν τεττάρων δοίη τίς. δεῖ δὲ προσκοροδοφαγεῖν τοὺς λαμβάνοντας. ποιεῖ δὲ καὶ πρὸς ἀποκατάστασιν σπληνιῶσι. καὶ μετὰ ἀξουγγίου δὲ ἡ ῥίζα ποθεῖσα καὶ καταπλασθεῖσα, ποιεῖ πρὸς τοὺς ὑπὸ καλάμου πληγέντας· ἡ δὲ δοκιμὴ τοιαύτη. ἔνθα ἐστὶ πολὺς κάλαμος καὶ πολὺ βλάχνον, στεφανώσον. ἀφανίζεται τὸ βλάχνον.

Περὶ Θηλυπτερίδος.

Κεφ, ρπζʹ.

Θηλυπτερὶς, οἱ δὲ νυμφαίαν πτέριν ὀνομάζουσι, τὰ μὲν φύλλα πτέριδι ὅμοια, οὐ μονόμοσχα δὲ ὡς τὰ ἐκείνης, ἀλλὰ πολλὰς ἔχοντα ἀποφύσεις καὶ ὑψηλοτέρας· ῥίζαι δὲ ὕπεισι μακραὶ, πλαγίαι, πλείους, ὑπόξανθοι ἐν τῷ μέλανι· τινὲς δὲ ἐρυθραί. Καὶ αὗται δὲ σὺν μέλιτι ἐν ἐκλεικτῷ λαμβανόμεναι, πλατεῖαν ἕλμινθα ἐκβάλλουσι. σὺν οἴνῳ δὲ πινόμεναι, < γʹ πλῆθος στρογγύλην ἐκτινάσσουσιν ἕλμινθα· γυναιξὶ δὲ δοθεῖσαι, ἀσυλληψίαν ποιοῦσι, κἂν ἔγκυος δὲ διαβῇ ἐκτιτρώσκει. ξηραὶ δὲ ἐπὶ τῶν δυσαλθῶν καὶ καθύγρων ἑλκῶν ἐπιπλάσσονται· λόφοις τε ὑποζυγίων ἰῶνται. τὰ δὲ φύλλα αὐτῆς ἀρτίβλαστα λαχανεύεται ἑφθὰ βιβρωσκόμενα, καὶ κοιλίαν μαλάσσουσιν.

Περὶ Πολυποδίου.

Κεφ. ρπή.

Πολυπόδιον φύεται ἐν πέτραις βρύα ἐχούσαις καὶ ἐν τοῖς ἀγρίοις πρέμνοις τοῖς ἐπὶ τῶν δρυῶν, σπιθαμῆς ἔχουσα τὸ ὕψος, ὅμοιον τῇ πτέριδι, ὑπόδασυ, τετμημένον, οὐ μὴν οὕτω λεπτοσχιδῶς· ῥίζα δ' ὕπεστι δασεῖα, πλεκτάνας ὡσπερεὶ πολύπους ἔχουσα, πάχος μικροῦ δακτύλου, ξυσθεῖσα δὲ ἔνδοθεν, χλωρὰ, στρυφνὴ, τῇ δὲ γεύσει ὑπόγλυκυς. Δύναμιν ἔχουσα καθαρτικήν· δίδοται δὲ συγκαθεψομένη ὄρνιθι, ἢ ἰχθύσιν, ἢ σεύτλῳ, ἢ μαλάχῃ πρὸς κάθαρσιν. ξηρὰ δὲ ἐπιπασσομένη ἐν μελικράτῳ, ἄγει φλέγμα καὶ χολήν. ποιεῖ καὶ πρὸς στρέμματα ἡ ῥίζα λεία καταπλασσομένη, καὶ πρὸς ῥαγάδας τὰς ἐν μεσοδακτύλοις.

Περὶ δρυοπτερίδος. Κεφ. ρπθ΄.

Δρυοπτερὶς φύεται κατὰ τὰ βρυώδη μέρη τῶν παλαιῶν δρυῶν, ὁμοία πτέριδι ἐλάττων δὲ πολλῷ τῇ σχίσει· ῥίζας δὲ ἔχει κατ' ἐπιπλοκὴν δασείας, στρυφνὰς κατὰ τὴν γεῦσιν, ἐν τῷ γλυκεῖ ῥέπουσα· Αὕτη ἐπιπλασθεῖσα λεία σὺν ταῖς ῥίζαις, τρίχας ψιλοῖ· δεῖ δὲ ἀποψᾶν τὸ-

πρῶτον

cicatrici repugnãtibus inſpargitur:iumentorũ ceruibus medetur. Folia recentia, in oleribus cocta manduntur, vt ventrem emolliant.

Filicula, ſiue polypodiũ.

Cap. CLXXXVIII.

Filicula naſcitur in muſcoſis petris, & vetuſtis arborũ caudicibus, præſertim quercuum, palmi altitudine, filici ſimilis, ſubhirſuta, non tenui perinde diuiſura: radix piloſa, in qua continentur cirri, ceu polyporum, craſsitudine digiti minimi, coloris intus herbacei, auſtera aliquantum, & guſtu ſubdulcis. purgandi vim habet: coquitur cum gallina, aut piſcibus, aut beta, aut malua, ad aluum ſoluendam. Aridæ farina aquæ mulſæ inſparſa, detrahit bilem & pituitam: trita luxatis efficaciter illinitur, & aduerſus rimas quæ inter digitos fiunt.

Dryopteris. Ca. CLXXXIX.

Dryopteris naſcitur in veterum roborum muſco, filici ſimilis, multo minore foliorum inciſura: radicibus inuicẽ implexis, hirſutis, guſtu acerbis, in dulcedinem vergentibus. Pſilothrum eſt cum radicibus trita: illinitur enim primum vſque dum ſudorem euocet, mox ſudor abluitur, & recens imponitur.

Cnicus. Cap. CXC.

Cnicus foliis conſtat oblongis, per ambitũ diuiſis, aſperis, ſpinoſis: caule ſeſquipedali: capitulo magnitudine grãdis oliuæ: flore croci: ſemine candido, alioqui rufo, lõgo, anguloſo. Huius flore in obſoniis vtũtur. Seminis tuſi & expreſſi ſuccus, cũ aqua mulſa, vel iure gallinacei aluũ purgat, ſed ſtomacho aduerſatur. Ex eo autẽ fiũt offulę, quas placentulas vocãt, adiectis ſucco amygdalis, nitro, aniſo, & melle decocto, quæ aluũ emolliunt. Hæ in partes quatuor finduntur, quæ nucis iuglandis magnitudinẽ impleant: è quibus ante cœnam duas vel tres ſumpſiſſe ſatis eſt. Ratio temperãdi hæc eſt: Cnici candidi ſextarius, amygdalorum toſtorum & delibratorum cyathi tres, aniſi ſextarius vnus, aphronitri drachma vna, cum carnibus triginta caricarum. Seminis ſuccus lac cogit, & magis ipſum reſoluẽdæ alui facultate donat.

Mercurialis. Cap. CXCI.

Lynozoſtis, aliqui partheniõ, alij hermûbotanion appellãt:

foliis

πρόσφατον μετὰ τὸ ἰκμάσαι τὸν χρῶτα καὶ νεαρὸν ἐπιπλάσσειν.

Περὶ κνίκου.
Κεφ. ρϛ΄.

Κνίκος φύλλα ἔχει ἐπιμήκη, ἐντετμημένα, τραχέα, ἀκανθώδη· καυλοὺς δὲ πηχυαίους ἐφ' ὧν κεφαλὴν κατὰ μέγεθος ἐλαίας· ἄνθος κρόκῳ ὅμοιον· σπέρμα λευκὸν καὶ πυῤῥὸν, ἐπιμήκες, γεγωνιωμένον. Τούτῳ τῷ ἄνθει χρῶνται εἰς τὰ προσοψήματα. τὸ σπέρμα κοπτόμενον καὶ χυλιζόμενον σὺν ὑδρομέλιτι ἢ ζωμῷ ὄρνιθος, κοιλίαν καθαίρει, κακοστόμαχον δέ ἐστι. γίνεται δὲ καὶ κοπλάρια κοιλίας μαλακτικὰ, τοῦ ὀποῦ αὐτοῦ μιγνύντος ἀμυγδάλῳ καὶ νίτρῳ, καὶ ἀνίσῳ, καὶ μέλιτι ἑφθῷ. δεῖ δὲ πρὸ δείπνου λαμβάνειν εἰς δ΄. διελόντα, ὡς βασιλικοῦ καρύου μέγεθος β΄. ἢ γ΄. σκευάζειν δὲ τὸν τρόπον τοῦτον δεῖ. κνίκου λευκοῦ ξέστην α΄.* θασίων πεφωγμένων καὶ λελεπυσμένων κυάθους τρεῖς ἀνήσου ξέστην ἕνα, ἀφρονίτρου < α΄. ἰσχάδων τῆς σαρκὸς ἀριθμῷ λ΄. πήγνυσι δὲ καὶ γάλα ὁ χυλὸς τοῦ σπέρματος, καὶ λυπικώτερον ποιεῖ.

Περὶ Λινοζώστεως.
Κεφ. ρϛα΄.

Λινόζωστις, οἱ δὲ παρθένιον, οἱ δὲ ἑρμοῦ βοτάνιον καλοῦσι·

ἔχει τὰ φύλλα ὅμοια ὠκίμῳ πρὸς τὰ τῆς ἑλξίνης, ἐλάττονα δέ· κλωνία διγόνατα, μασχάλας πολλὰς, πυκνὰς ἔχοντα· τὸν δὲ καρπὸν, ἡ μὲν θήλεια βοτρυοειδῆ καὶ πολύν· ὁ δὲ ἄῤῥην, πρὸς τοῖς πετάλοις μικρὸν, στρογγύλον ὥσπερ ὀρχίδια κατὰ δύο προσκείμενα· ὅλος δὲ ὁ θαμνίσκος σπιθαμιαῖος ἢ καὶ μείζων. Κινοῦσι δ᾽ ἀμφότεραι κοιλίαν λαχανευόμεναι καὶ ἐσθιόμεναι· καθεψόμεναι δὲ ἐν ὕδατι καὶ πινομένου τοῦ ὕδατος, ἄγουσι χολὴν καὶ ὑδατώδη. δοκεῖ δὲ τὰ μὲν τῆς θηλείας φύλλα λεῖα πινόμενα καὶ προστιθέμενα μετὰ τὴν κάθαρσιν τοῖς αἰδοίοις, σύλληψιν θήλεως ποιεῖσθαι, τὰ δὲ τοῦ ἄῤῥενος ὁμοίως ἐπιτηδευθέντα ἀῤῥενογόνα γίνεσθαι.

Περὶ Κυνοκράμβης.

Κεφ. ρϟβ΄.

Κυνία ἡ κυνοκράμβη, οἱ δὲ, λινόζωστις ἀγρία ἄῤῥην, καυλίον ἀνίησι διπιθαμιαῖον, τρυφερὸν, ὑπόλευκον· φύλλα ἐμφερῆ λινοζώστιδι ἢ κισσῷ, ὑπόλευκα ἐκ διαστημάτων· τὸν δὲ καρπὸν πρὸς τοῖς πετάλοις προσκείμενον μικρὸν, στρογγύλον. Δύναμιν δὲ ἔχει ὅ, τε καυλοὶς καὶ τὰ φύλλα πινόμενα, κοιλίας κινητικήν. λαχανευόμενα. καθεψομένων δὲ, τὸ ὕδωρ ἄγει χολὴν καὶ ὑδατώδη.

foliis conſtat ocymi, helxinæ cognatis, ſed minoribus: ramulis duplici geniculorum nodo cinctis, alarũ cauis multis: fructu fœminæ, copioſo, quandam racemorum ſpeciem prębente: mari, è foliorum ſinu dependente, paruo, rotundo, ceu binis teſticulis vnà cohærentibus: frutice dodrãtali aut maiore. Vtraque in oleribus manditur, ad aluum ciendam: cocta in aqua, epoto iure bilem aquámque detrahit. Conſtat vt mares gignantur, hunc facere: vt fœminæ, illam, ſi à purgatione bibantur, & trita folia genitalibus admoueantur.

Cynocrambe.

Cap. CXCII.

CYNIA aut cynocrambe, cauliculum binûm dodrantum altitudine emittit, mollem, ſubalbidum: folia mercuriali aut hederæ ſimilia, certis interſtitiis ſubalbida: ſemen foliis adhæret, paruum, rotundum. Folia cum caulibus pota, aluum cient: oleribus commendantur. Ius decocti & pituitam & bilem aquámq; detrahit.

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0557-0
DFG

Heliotropium magnum.
Cap. CXCIII.

Heliotropio magno flos eſt effigie ſcorpionis caudæ, vnde ſcorpiuro ei nomen: & quoniam folia cum ſole circumagat, heliotropion dicitur. Folia ocymi habet, hirſutiora, candidiora, & maiora: ramuli à radice terni, quaterni, aut ſæpe quini exiliunt, multis alis concaui: flos in cacumine candidus, aut ſubfuluus incuruatur vt ſcorpionis cauda: radix tenuis eſt, & inutilis: naſcitur in aſperis. Decoctum herbæ ex aqua, faſciculo manus plenæ, potu pituitam bilémque per aluum extrahit: contra ſcorpionum ictus ex vino potum, & illitú prodeſt: adalligatur ad conceptus arcendos. Aiunt per horam vnam ante acceſsiones, ſeminis grana quatuor cú vino quartanas finire: tria verò, tertianas. Illitum ſemen formicantes verrucas penſiléſque, & thymos, & epinyctidas exiccat. Folia infantium deſtillationibus, quas ſyriaſeis vocant, podagris, luxatiſque vtiliſsimè illinuntur: menſes cient: partus trita & impoſita pellunt.

Heliotro-

Περὶ Ἡλιοτροπίου τοῦ μεγάλου.
Κεφ. ρϛγ΄.

Ἡλιοτρόπιον τὸ μέγα, ὃ ἔνιοι ἐκάλεσαν σκορπιοῦρον ἀπὸ τοῦ περὶ τὸ ἄνθος σχήματος, ἡλιοτρόπιον δὲ ἀπὸ τοῦ συμπεριτρέπεσθαι τὰ φύλλα τῇ τοῦ ἡλίου κλίσει. ἔχει δὲ τὰ φύλλα ὠκίμῳ παραπλήσια, δασύτερα δὲ καὶ * μελάντερα, καὶ μείζονα· κλωνία ἀπὸ τῆς ῥίζης ὅσον γ΄. ἢ δ΄. ἢ ε΄. καὶ ἐκ τούτων μασχάλας πλείους· ἐπ' ἄκρων δὲ ἄνθος λευκὸν, ὑπόπυῤῥον, ἐπικαμβὲς, καθάπερ σκορπίου οὐρά· ῥίζα δὲ λεπτὴ, καὶ ἄχρηστος· φύεται ἐν τραχέσι τόποις. Τούτου ὅσον δέσμη ἀφεψηθεῖσα μεθ' ὕδατος καὶ ποθεῖσα, ἄγει φλέγμα καὶ χολὴν κατὰ κοιλίας· ἁρμόζει δὲ καὶ σκορπιοπλήκτοις μετὰ οἴνου πινομένη καὶ καταπλασσομένη· πρὸς ἀτόκιον δὲ περιάπτεται. φασὶ δὲ πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας, τοῦ καρποῦ δ΄. κόκκοις μετ' οἴνου ποθέντας, τεταρταίοις καταπαύειν· τριταίοις δὲ τρεῖς. καταπλασσόμενος δὲ ὁ καρπὸς, μυρμηκίας καὶ ἀκροχορδόνας καὶ θύμους καὶ ἐπινυκτίδας ξηραίνει. τὰ δὲ φύλλα ποδάγραις καὶ στρέμμασι καὶ σειριῶσι παιδίοις ἐπιπλάττεται ὠφελίμως· κινεῖ δὲ καὶ ἔμμηνα. καὶ ἔμβρυα ἄγει λεῖα προστεθέντα.

Περὶ

Περὶ Ἡλιοτροπίου τοῦ μικροῦ.

Κεφ. ρϟδʹ.

Ἡλιοτρόπιον τὸ μικρὸν φύεται ἐν τελματώδεσι τόποις καὶ παρὰ λίμναις, ἔχον φύλλα παραπλήσια τῷ προειρημένῳ, στρογγυλώτερα δέ· καρπὸν στρογγύλον ἀποκρεμάμενον ὡς ἀκροχορδόνας. Δύναται δὲ ἡ πόα μετὰ τοῦ καρποῦ πινομένη σὺν νίτρῳ καὶ ὑσσώπῳ καὶ καρδάμῳ καὶ ὕδατι, ἕλμινθα πλατεῖαν καὶ στρογγύλην ἐκτινάσσειν· αἴρει δὲ καὶ ἀκροχορδόνας σὺν ἁλσὶ καταπλασσομένη.

Περὶ Σκορπιοειδοῦς. Κεφ. ρϟεʹ.

Σκορπιοειδὲς βοτάνιον φύλλα ἔχον ὀλίγα καὶ σπέρματα, οὐραῖς σκορπίου ἐμφερῆ. βοηθεῖ δὲ καταπλασσόμενα σκορπιοπλήκτοις ἄκρως.

ΤΕΛΟΣ ΤΟΥ ΒΙΒΛΙΟΥ ΤΕΤΑΡΤΟΥ.

Heliotropium paruum.

Cap. CXCIIII.

Heliotropion paruum, naſcitur in paluſtribus, iuxta lacus, foliis antedicto proximis, rotundioribus: ſemine, acrochordonum verrucarum modo, penſili, rotundo. Herba cum ſuo ſemine pota, adiecto nitro, hyſſopo, naſturtio, & aqua, latas tineas teretéſq; excutit. Penſiles verrucas, quæ acrochordones vocãtur, cum ſale illita tollit.

Scorpioides. Cap. CXCV.

Scorpioides herbula eſt, foliis paucis, ſemine caudæ ſcorpionis effigie. Illita ſcorpionum ictibus præſentaneo eſt auxilio.

QVARTI LIBRI FINIS.

Universitäts- und Landesbibliothek Düsseldorf

DFG